ΓΡΑΜΜΑΤΙΚΗΣ
ΕΙΣΑΓΩΓΗΣ
ΒΙΒΛΙΑ ΤΡΙΑ

Ὧν τὸ

Πρῶτον περὶ κλίσεως, Σχηματισμοῦ ἐστι τῶν τοῦ Λόγου μερῶν. Τὸ Δεύτερον, περὶ τῶν αὐτῶν Ἰδία κατὰ Διάλεκτον. Τὸ δὲ τρίτον, περὶ Προσῳδίας τε, καὶ Ὀρθογραφίας τῶν αὐτῶν συντόμως τε, καὶ λίαν εὐκρινῶς ἐκτεθέντα, πρὸς χρῆσιν εὐχερεστέραν τῶν φιλομαθῶν νέων.

παρὰ

ΜΑΤΘΑΙΟΥ ταπεινοῦ Μοναχοῦ
τοῦ ἐκ τῆς χώρας τῶν Γανοχώρων,
καὶ τὰνῦν τέταρτον τύποις ἐκδοθὲν φιλοτίμῳ δαπάνῃ
τοῦ τιμιωτάτου ἐν πραγματευταῖς
Κυρίου
ΙΩΑΝΝΟΥ ΧΑΨΟΥΛΑ

Ἐν τῇ Κωνσταντινουπόλεως Πατριαρχικῷ Τυπο-
γραφείῳ. 1819

ΒΙΒΛΙΟΘΗΚΗ
ΓΗΡΟΚΟΜΕΙΟΥ
Αριθ. 4025

Τῷ

ΜΑΚΑΡΙΩΤΑΤΩ ΚΑΙ ΣΟΦΩΤΑΤΩ ΠΑΤΡΙΑΡΧΗ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ, ΤΩ ΣΕΒΑΣΜΙΩΤΑΤΩ ΜΟΙ ΔΕΣΠΟΤΗ, Κυρίῳ Κυρίῳ ΑΝΘΙΜΩ

Ἰδού Σοι Μακαριώτατε, καὶ Σοφώτατε Δέσποτα, τῶν ὑμετέρων εὐχῶν ὁ καρπός. Ἰδού σοι τῶν σοφῶν βουλευμάτων τὸ ἀποτέλεσμα. Ἀπέχεις, ἣν διὰ τῆς ἐμῆς οὐθενείας συντεθῆναι ἐζήτησας Εἰσαγωγὴν τῆς Γραμματικῆς· ἀπόδεξαι τὴν εὐπείθειαν· κἂν τι τὸ ἔργον τῆς ἀξίας ὑποδεέστερον· οὐ γὰρ τῇ προθυμίᾳ μᾶλλον, ἢ τῇ δυνάμει τῶν ἐργαζομένων, τὰ ἔργα πέφυκεν ἐξισοῦσθαι· οὐδὲ πλέον ποθ' ἡ βούλησις κατορθοῖ, μὴ καὶ τῷ δύνασθαι συνεργῷ κεχρημένη· τί δαί; οὐχ ἕνεκά τις ἁγίων εὐχῶν καὶ ὑπὲρ δύναμίν τι ἐξεργάσαιτο ἄν; Πεπεισμαι ἔγωγε· διὸ καὶ ἐπιχειρῆσαι τεθάρρηκα· καὶ θαρρήσας τετέλεκα· καὶ τελέσας, τῷ εὐχέτῃ τὰς χάριτας ὡμολόγηκα· τίν' δὲ ἄλλῳ, ἢ τῷ πρώτως ἐπευξαμένῳ καὶ ἀναθεῖναι τελεσθεῖσαν τὴν Εἰσαγωγὴν ὤφειλον; Πῶς δ' οὐ τῶν δικαιοτάτων τε, καὶ ἐννομωτάτων τῷ τὸ ἐνδόσιμον δεδωκότι, καὶ προτρεψαμένῳ, τὸ ἔργον ἀφο-

φησιάσασθαι, ἄλλως τε σοφωτάτῳ τε ὄντι, καὶ πάσαις ἀρεταῖς κατηγλαϊσμένῳ καὶ ἀξιωματι θειοτάτῳ κεκοσμημένῳ; Ὃς λάμπει, καθ' Ὅμηρον μὲν εἰπεῖν, ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα λαμπρὸν παμφαίνησιν αἰθέριναιῶν· μᾶλλον δ' ἡλίου φανώτερον ἐπὶ τῆς ὑπερτάτης ἱδρυμένος περιωπῆς τοῦ Πατριαρχικοῦ Θρόνου· θάλπει δὲ καὶ ζωογονεῖ τοὺς ὑποβεβηκότας, καὶ ἀβρανεῖς μάλιστα μὲν ταῖς ἀπὸ τοῦ βίου πυρσαυγίαις τῶν ἀρετῶν, οὐχ ἥκιστα δὲ ταῖς ἀπὸ γλώσσης φωταυγίαις τῶν λόγων καὶ τῶν σοφῶν συγγραμμάτων. Τούτων οὖν ἕνεκα πῶς οὐκ ἐκ παντὸς τρόπου προσήκουσα τῇ αὐτοῦ Μακαριότητι ἡ ἀνάθεσις. Τῷ ὑμετέρῳ τοίνυν ἐνθέῳ ὕψει, Δέσποτα Μακαριώτατε, καὶ Σοφώτατε, τὴν παροῦσαν εἰσαγωγὴν ἀνατίθημι· τὰς ὑμετέρας ἐκ αὐτῆς θεσπεσίας εὐχὰς καὶ ἁγιωτάτας εὐλογίας καὶ νῦν ἐξαιτούμενος, ὅπως οἱ αὐτῶν γε τοῖς ἐντυγχάνουσι πᾶσι λυσιτελὴς τὰ μάλιστα γένηται, καρποφοροῦσα παισὶ τὴν εὐμάθειαν· καὶ πλείστην ὅσην τὴν ἐπίδοσιν εἰς τὰ κάλλιστα· ὃ δὴ τέλος τὸ σκοπιμώτατον, ὑμῖν τε τοῖς προτρεψαμένοις, καὶ μοὶ τῷ εἴξαντι, καὶ φιλοπονήσαντι τὰ τῶν παίδων ἐπίδοσις, καὶ ὠφέλεια. οἷς εὔξαιο μὲν τὰ λώονα, ἐμοὶ δὲ καὶ συγγνώμην παράσχοιο τῶν ἐλλειμμάτων, καὶ εὐλογίαν σωτήριον.

Τῆς ὑμετέρας Θεοφρουρήτου Μακαριότητος

δοῦλος ὑποκλινέστατος

Ματθαῖος Μοναχός.

ΓΡΑΜΜΑΤΙΚΗΣ

ΕΙΣΑΓΩΓΗΣ

ΒΙΒΛΙΟΝ Α'. ΜΕΡΟΣ Α'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ Διαιρέσεως τῶν Γραμμάτων.

§. ά. Γράμματα μέν εἰσιν, εἰκοσιτέσσαρα, α, β, γ, δ, καὶ τὰ λοιπά. διαιροῦνται δὲ ταῦτα εἰς φωνήεντα, καὶ εἰς σύμφωνα· εἰσὶ δὲ φωνήεντα μὲν ἑπτά· α, ε, η, ι, ο, υ, ω. σύμφωνα δὲ, δεκαεπτά· β, γ, δ, ζ, θ, κ, λ, μ, ν, ξ, π, ρ, σ, τ, φ, χ, ψ. Τῶν δὲ φωνηέντων, μακρὰ μὲν, δύω· η, ω βραχέα δὲ, δύο· ε, ο. δίχρονα δὲ, τρία· α, ι, υ. ἐξ ὧν δίφθογγοι κυρίως μὲν ἓξ γίνονται αι, αυ, ει, ευ, οι, ου. καταχρηστικῶς δὲ, τέσσαρες· α, η, ω, ι. τῶν δὲ συμφώνων ἡμίφωνα μὲν ὀκτώ· ζ, ξ, ψ, λ, μ, ν, ρ, σ. ὧν διπλᾶ μὲν τρία· ζ, ξ, ψ. ἀμετάβολα δὲ, τέσσαρα· λ, μ, ν, ρ. ἄφωνα δὲ, ἐννέα· β, γ, δ, κ,

δ, κ, π, τ, θ, φ, χ. ὧν ψιλὰ μὲν, τρία· κ, π, τ. δασέα δὲ, τρία· θ, φ, χ, μέσα δὲ, τρία· β, γ, δ.

Περὶ Συλλαβῶν καὶ Λέξεων καὶ Λόγου.

§. ϛ'. Ἐκ τῶν διηρημένων δὲ τῶν δε γραμμάτων αἱ συλλαβαὶ γίνονται· οἷον, πε· ἐξ ὧν αἱ λέξεις· οἷον, Πέτρος· ἐξ ὧν ὁ λόγος· οἷον, ὁ Πέτρος ἀναγινώσκει.

Περὶ τῶν τοῦ λόγου μερῶν.

§. ζ'. Τοῦ δὲ λόγου, μέρη ὀκτώ· Ὄνομα, Ῥῆμα, Μετοχὴ, Ἄρθρον, Ἀντωνυμία, Πρόθεσις, Ἐπίῤῥημα, Σύνδεσμος· ὧν κλιτὰ μὲν πέντε· Ὄνομα, Ῥῆμα, Μετοχὴ, Ἄρθρον, Ἀντωνυμία· ἄκλιτα δὲ τρία· Πρόθεσις, Ἐπίῤῥημα, Σύνδεσμος.

ΚΕΦ. Β'.

Περὶ Ὀνόματος.

§. δ'. Ὄνομα τοίνυν, τὸ μὲν κύριον· οἷον, Σωκράτης· τὸ δὲ προσηγορικόν· οἷον, ἄνθρωπος· τὸ δὲ ἐπίθετον· οἷον, ἀγαθός. Παρέπεται δὲ αὐτῷ πέντε, γένος, εἶδος, σχῆμα, ἀριθμὸς, πτῶσις.

Περὶ Γενῶν.

§. ε'. Γένη μέν εἰσι πέντε· ἀρσενικόν· οἷον, ὁ ἀγαθός· θηλυκὸν· οἷον, ἡ ἀγαθή· οὐδέτερον· οἷον, τὸ ἀγαθόν· κοινόν· οἷον, ὁ καὶ ἡ ἄνθρωπος· ἐπίκοινον· οἷον, ὁ ἀετὸς, καὶ ἡ χελιδών· ὅπερ μιᾷ φωνῇ, καὶ ἑνὶ ἄρθρῳ ἀρσενικῷ, ἢ θηλυκῷ δηλοῖ τὰ δύω γένη.

Περὶ

Περὶ Εἰδῶν.

§. ϛ'. Εἴδη δὲ δύο· Πρωτότυπον· οἷον, μέγας. Παράγωγον· οἷον, μείζων.

Περὶ Σχημάτων.

§. ζ'. Σχήματα δὲ δύο· Ἁπλοῦν· οἷον, ἵππος· Σύνθετον· οἷον, φιλίππος.

Περὶ Ἀριθμῶν.

§. η'. Ἀριθμοὶ δὲ τρεῖς· Ἑνικός· οἷον, ὁ ἀγαθός· Δυϊκός· οἷον, τὼ ἀγαθώ· Πληθυντικός· οἷον, οἱ ἀγαθοί.

Περὶ Πτώσεων.

§. θ'. Πτώσεις δὲ πέντε· Ὀνομαστικὴ, Γενικὴ, Δοτικὴ, Αἰτιατικὴ, καὶ Κλητική· ὧν ὀρθαὶ καὶ εὐθεῖαι δύο καλοῦνται ὀνομαστικὴ καὶ κλητική, αἱ δὲ ἄλλαι δὲ, πλάγιαι.

ΚΕΦ. Γ'.

Περὶ Ἄρθρου.

§. ι'. Ἄρθρον δὲ, τὸ μὲν προτακτικόν· οἷον, ὁ, ἡ, τό· τὸ δὲ ὑποτακτικόν· οἷον, ὅς, ἥ, ὅ· Παρέπεται δὲ αὐτῷ τρία· Γένος, Ἀριθμὸς, Πτῶσις.

Κλίσις τῶν προτακτικῶν Ἄρθρων.

§. ια'. Ἄρθρα προτακτικὰ ἀρσενικά· Ἑνικῶς ἡ Ὀνομαστικὴ, ὁ. ἡ γενικὴ, τοῦ. ἡ δοτικὴ, τῷ. ἡ Αἰτιατικὴ, τὸν. Δυϊκῶς ἡ Ὀνομαστικὴ, καὶ Αἰτιατικὴ,

τικὴ,

τικὴ, τῶ. ἡ Γενικὴ, καὶ Δοτικὴ, τοῖν. Πληθυντικῶς ἡ Ὀνομαστικὴ, οἱ. ἡ Γενικὴ, τῶν. ἡ Δοτικὴ, τοῖς. ἡ Αἰτιατικὴ, τοὺς.

Θηλυκά.

§. ιϑ'. Ἑνικ. ἡ ὀνομ. ἡ. ἡ Γεν. τῆς. ἡ Δοτ. τῇ. ἡ Αἰτ. τὴν. Δυϊκ. ἡ ὀνομ. καὶ Αἰτ. τὰ. ἡ Γεν. καὶ Δοτ. ταῖν. Πληθ. ἡ ὀνομ. αἱ. ἡ Γεν. τῶν. ἡ Δοτ. ταῖς. ἡ Αἰτ. τὰς.

Οὐδέτερα.

§. κ'. Ἑνικ. τὸ, τοῦ, τῷ, τὸ. Δυϊκ. τὼ, τοῖν. Πληθ. τὰ, τῶν, τοῖς, τὰ.

Κλίσις τῶν Ὑποτακτικῶν.

§. κα'. Ἄρθρα ὑποτακτικὰ ἀρσενικά· ὃς, οὗ, ᾧ, ὦ, οἵν. οἱ, ὧν, οἷς, οὕς.

Θηλυκά.

Ἥ, ἧς, ᾗ, ἥν. ἃ, αἵν. αἱ, ὧν, αἷς, ἅς.

Οὐδέτερα.

Ὅ. οὗ, ᾧ, ὃ. ᾧ, οἵν. ἃ, ὧν, οἷς, ἅ.

§. κβ. Κλητικὴν δὲ οὐδὲν οὐδεμίαν ἔχει. τὸ γὰρ ᾧ, οὐκ ἄρθρον, ἀλλ' ἐπιῤῥημά ἐστι κλητικόν.

ΚΕΦ. Δ'.

Περὶ κλίσεως Ὀνομάτων.

§. κγ'. Κλίνεται δὲ τὰ ὀνόματα, ἤτοι ἰσοσυλλάβως, Αἰνείας, Αἰνείου. ἢ περιττοσυλλάβως. Αἴας, Αἴαντος· καὶ ἰσοσυλλάβως μὲν, τετραχῶς· περιττοσυλλάβως δὲ, μοναχῶς· διὸ καὶ πέντε Κλίσεις εἰσὶν, ὧν, ἡ μὲν, Πρώτη τῶν Ἰσοσυλλάβων καλεῖται· ἡ δὲ, Δευτέρα· ἡ δὲ, Τρίτη· ἡ δὲ, Τετάρτη· ἡ δὲ, Πέμπτη τῶν Περιττοσυλλάβων.

Πρώτη τῶν Ἰσοσυλλάβων.

§. κδ'. Πρώτη Κλίσις τῶν ἰσοσυλλάβων ἐστὶν ἀρσενικῶν ὀνομάτων εἰς ας ληγόντων, καὶ εἰς ης. ἀρσενικῶν, καὶ κοινῶν, ὧν ἡ γενικὴ εἰς ου λήγει· ἡ δοτικὴ εἰς α, ἢ εἰς η, κατὰ τὸ φωνῆεν τῆς Ὀνομαστικῆς. ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς Ὀνομαστικῆς.

§. κε'. Ἑνικῶς ἡ Ὀνομαστικὴ, ὁ Αἰνείας. ἡ Γενικὴ, τοῦ Αἰνείου. ἡ Δοτικὴ, τῷ Αἰνείᾳ. ἡ Αἰτιατικὴ, τὸν Αἰνείαν. ἡ Κλητικὴ, ὦ Αἰνεία κοινῶς, καὶ ὦ Αἰνείας ἀττικῶς. Δυϊκῶς ἡ Ὀνομαστικὴ, καὶ Αἰτιατικὴ, τὼ Αἰνεία, ἡ γενικὴ καὶ δοτικὴ, τοῖν Αἰνείαιν. ἡ Κλητικὴ, ὦ Αἰνεία. Πληθυντικῶς ἡ Ὀνομαστικὴ, οἱ Αἰνείαι. ἡ Γενικὴ, τῶν Αἰνειῶν. ἡ Δοτικὴ, τοῖς Αἰνείαις. ἡ Αἰτιατικὴ, τοὺς Αἰνείαις. ἡ Κλητικὴ, ὦ Αἰνεῖαι.

§. κϛ'. Ὁ Χρύσης, τοῦ Χρύσου, τῷ Χρύσῃ, τὸν Χρύσην, ὦ Χρύσῃ, καὶ ὦ Χρύσης. τὼ Χρύσα, τοῖν Χρύσαιν, ὦ Χρύσα. Οἱ Χρῦσαι, τῶν Χρυσῶν, τοῖς Χρύσαις, τοὺς Χρύσας. ὦ Χρῦσαι.

§. κ'. Ὁ καὶ ἡ λῃστὴς, τοῦ καὶ τῆς λῃστοῦ, τῷ καὶ τῇ λῃστῇ, τὸν καὶ τὴν λῃστὴν, ὦ λῃστά. Τὼ καὶ τὰ

τὰ λῃσὰ, τοῖν καὶ ταῖν λῃσαῖν, ὦ λῃσά. Οἱ καὶ αἱ λῃσαὶ, τῶν λῃσῶν, τοῖς καὶ ταῖς λῃσαῖς, τοὺς καὶ τὰς λῃσὰς, ὦ λῃσαί.

§. κά. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ ἔχοντα τὸ τ, ἢ ἐθνικὰ ὄντα, εἰς α ποιοῦσι τὴν κλητικήν· Ὁ Προφήτης, ὦ Προφῆτα· Ὁ Πέρσης, ὦ Πέρσα. Ὁμοίως δὲ καὶ τὰ ἔχοντα τὸ π, ἢ σύνθετα ὄντα ἐκ τοῦ μετρῶ, ἢ ἄρχω, ἢ τρίβω· οἷον, ὁ κυνώπης, ὦ κυνῶπα· ὁ γεωμέτρης, ὦ γεωμέτρα· ὁ τοπάρχης, ὦ τοπάρχα· ὁ παιδοτρίβης, ὦ παιδοτρίβα.

§. κβ. Σημειώσῃ δὲ καὶ τὰ Δωρικῶς κλινόμενα, ὁ Θωμᾶς, τοῦ Θωμᾶ, τῷ Θωμᾷ, τὸν Θωμᾶν, ὦ Θωμᾶ. Ὁ ποδῆς, τοῦ ποδῆ, τῷ ποδῇ, τὸν ποδῆν, ὦ ποδῆ.

Δευτέρα τῶν Ἰσοσυλλάβων.

§. κγ. Δευτέρα Κλίσις τῶν ἰσοσυλλάβων ἐστὶ, θηλυκῶν Ὀνομάτων εἰς α, καὶ εἰς η, ληγόντων. ὧν ἡ Γενικὴ, εἰς ης, ἡ Δοτικὴ εἰς ῃ, ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς Ὀνομαστικῆς.

§. κδ. Ἡ μοῦσα, τῆς μούσης, τῇ μούσῃ, τὴν μοῦσαν, ὦ μοῦσα. Τὰ μοῦσα, ταῖν μούσαιν, ὦ μούσα. Αἱ μοῦσαι, τῶν μουσῶν, ταῖς μούσαις, τὰς μούσας, ὦ μοῦσαι.

§. κε. Ἡ τιμὴ, τῆς τιμῆς, τῇ τιμῇ, τὴν τιμὴν, ὦ τιμή. Τὰ τιμά, ταῖν τιμαῖν, ὦ τιμά. Αἱ τιμαὶ, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμὰς, ὦ τιμαί.

§. κς. Σημείωσαι δὲ, ὅτι τὰ εἰς α μακρὰν, καὶ εἰς α καθαρὸν, καὶ εἰς ρὰ, καὶ εἰς δὰ, καὶ εἰς θὰ, λήγοντα, φυλάττουσι τὸ α, ἐπὶ τῆς Γενικῆς, καὶ Δοτικῆς· οἷον, Ἀθηνᾶ, Ἀθηνᾶς, Ἀθηνᾷ· μαῖα, μαίας, μαίᾳ· ἡμέρα, ἡμέρας, ἡμέρᾳ· Μάρθα, Μάρθας, Μάρθᾳ.

Τρίτη τῶν Ἰσοσυλλάβων.

§. κζ. Τρίτη Κλίσις τῶν ἰσοσυλλάβων ἐστὶν, ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων Ὀνομάτων, ληγόντων εἰς ος, καὶ οὐδετέρων εἰς ον. ὧν ἡ Γενικὴ εἰς ου, ἡ Δοτικὴ εἰς ῳ, ἡ Αἰτιατικὴ εἰς ον.

§. κη. Ὁ λόγος, τοῦ λόγου, τῷ λόγῳ, τὸν λόγον, ὦ λόγε Κοινῶς, καὶ ὁ λόγος Ἀττικῶς. Τὼ λόγῳ, τοῖν λόγοιν, ὦ λόγω. Οἱ λόγοι, τῶν λόγων, τοῖς λόγοις, τοὺς λόγους, ὦ λόγοι.

§. κθ. Ἡ ὁδὸς, τῆς ὁδοῦ, τῇ ὁδῷ, τὴν ὁδὸν, ὦ ὁδὲ Κοινῶς, καὶ ὦ ὁδὸς Ἀττικῶς. Τὰ ὁδώ, ταῖν ὁδοῖν, ὦ ὁδώ. Αἱ ὁδοὶ, τῶν ὁδῶν, ταῖς ὁδοῖς, τὰς ὁδοὺς, ὦ ὁδοί.

§. λ. Ὁ καὶ ἡ ἄνθρωπος, τοῦ καὶ τῆς ἀνθρώπου, τῷ καὶ τῇ ἀνθρώπῳ, τὸν καὶ τὴν ἄνθρωπον, ὦ ἄνθρωπε, καὶ ὦ ἄνθρωπος.

§. λα. Ὁ ἀετὸς, τοῦ ἀετοῦ, τῷ ἀετῷ, τὸν ἀετὸν.

§. λβ. Τὸ ξύλον, τοῦ ξύλου, τῷ ξύλῳ, τὸ ξύλον, ὦ

ῶ ξύλου, Τὼ ξύλω, τοῖν ξύλοιν, ὦ ξύλω. Τὰ ξύλα, τῶν ξύλων, τοῖς ξύλοις, τὰ ξύλα, ὦ ξύλα.

§. λγ'. Σημαίωσαι ὅτι ἐν τοῖς οὐδετέροις ὀνόμασι τρεῖς πτώσεις εἰσὶν ὅμοιαι ἐν παντὶ ἀριθμῷ, Ὀνομαστικὴ, Αἰτιατικὴ, καὶ Κλητική.

Τετάρτη τῶν Ἰσοσυλλάβων.

§. λδ'. Τετάρτη Κλίσις τῶν ἰσοσυλλάβων ἐστὶν, ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων Ὀνομάτων ἀττικῶν, ληγόντων εἰς ως, καὶ οὐδετέρων εἰς ων. ὧν ἡ Γενικὴ εἰς ω, ἡ Δοτικὴ εἰς ῳ, ἡ Αἰτιατικὴ εἰς ων.

§. λε'. Ὁ μενέλεως, τοῦ μενέλεω, τῷ μενέλεῳ, τὸν μενέλεων, ὦ μενέλεω. Τὼ μενέλεω, τοῖν μενέλεων, ὦ μενέλεω. Οἱ μενέλεω, τῶν μενέλων, τοῖς μενέλεῳς, τοὺς μενέλεως, ὦ μενέλεω,

§. λς. Ἡ ἅλως, τῆς ἅλως, τῇ ἅλῳ, τὴν ἅλων, ὦ ἅλως. Τὰ ἅλω, ταῖν ἅλων, ὦ ἅλω. Αἱ ἅλῳ, τῶν ἅλων, ταῖς ἅλῳς, τὰς ἅλως, ὦ ἅλῳ.

§. λζ'. Ὁ καὶ ἡ εὔγεως, τοῦ καὶ τῆς εὔγεω.

§. λη'. Τὸ εὔγεων, τοῦ εὔγεω, τῷ εὔγεῳ, τὸ εὔγεων, ὦ εὔγεων. Τὼ εὔγεω, τοῖν εὔγεῳν, ὦ εὔγεω. Τὰ εὔγεω, τῶν εὐγεων, τοῖς εὔγεῳς, τὰ εὔγεω, ὦ εὔγεω.

Πέμπτη τῶν Περιττοσυλλάβων.

§. λθ'. Πέμπτη Κλίσις ἐστὶ πάντων τῶν περιττοσυλλάβων Ὀνομάτων, ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ οὐδετέρων, κοινῶν, καὶ ἐπικοίνων, διαφόρους καταλήξεις ἐχόντων. ὧν ἡ Γενικὴ εἰς ος, ἡ Δοτικὴ εἰς ι, ἡ Αἰτιατικὴ εἰς α.

§. μ'. Ὁ Αἴας, τοῦ Αἴαντος, τῷ Αἴαντι, τὸν Αἴαντα, ὦ Αἶαν, Κοινῶς. καὶ ὦ Αἴας Ἀττικῶς. Τὼ Αἴαντε, τοῖν Αἰάντοιν, ὦ Αἴαντε. Οἱ Αἴαντες, τῶν Αἰάντων, τοῖς Αἴασι, τοὺς Αἴαντας, ὦ Αἴαντες.

§. μά. Ἡ τρυγὼν, τῆς τρυγόνος, τῇ τρυγόνι, τὴν τρυγόνα, ὦ τρυγών. Τὰ τρυγόνε, ταῖν τρυγόνοιν, ὦ τρυγόνε. Αἱ τρυγόνες, τῶν τρυγόνων, ταῖς τρυγάσι, τὰς τρυγόνας, ὦ τρυγόνες.

§. μβ'. Τὸ βῆμα, τοῦ βήματος, τῷ βήματι, τὸ βῆμα, ὦ βῆμα. Τὼ βήματε, τοῖν βημάτοιν, ὦ βήματε. Τὰ βήματα, τῶν βημάτων, τοῖς βήμασι, τὰ βήματα, ὦ βήματα.

Διάφοροι καταλήξεις τῶν πεμπτοκλίτων.

Ἀρσενικά.

§. μγ'. Ὁ παιὰν, τοῦ παιᾶνος. Ὁ πᾶς, τοῦ παντός. Ὁ θώραξ, τοῦ θώρακος. Ὁ ἅρπαξ, τοῦ ἅρπαγος. Ὁ ἄραψ, τοῦ ἄραβος. Ὁ ἁλς, τοῦ ἁλός. Ὁ λάχης, τοῦ λάχητος. Ὁ Πάρις, τοῦ Πάριδος. Ὁ ἴβηρ, τοῦ ἴβηρος. Ὁ ποιμὴν, τοῦ ποιμένος. Ὁ δελφὶν, τοῦ δελφῖνος. Ὁ ὀξὺς, τοῦ ὀξέος. Ὁ μάρτυς, τοῦ μάρτυρος. Ὁ βότρυς, τοῦ βότρυος. Ὁ πέρδιξ, τοῦ πέρδικος. Ὁ δοίδυξ, τοῦ δοίδυκος. Ὁ νοῦς, τοῦ νοός. Ὁ ποῦς, τοῦ ποδός. Ὁ Θέων, τοῦ Θέωνος. Ὁ Νέστωρ, τοῦ Νέστορος

Θηλυκά.

§. μδ. Ἡ αὐλαξ, τῆς αὐλακος. Ἡ δάμαρ, τῆς δάμαρτος.

Ἡ δαὶς, τῆς δαιτός. Ἡ κλεὶς, τῆς κλειδός.

Ἡ κόνις, τῆς κόνιος. Ἡ χεὶρ, τῆς χειρός.

Ἡ φλὸξ, τῆς φλογός. Ἡ ἄντυξ, τῆς ἄντυγος.

Ἡ ὀψ, τῆς ὀπός. Ἡ φλὲψ, τῆς φλεβός.

Οὐδέτερα.

§. με. Τὸ πᾶν, τοῦ παντός. Τὸ κὴρ, τοῦ κηρός.

Τὸ ἅλας τοῦ ἅλατος. Τὸ μέλι τοῦ μέλιτος.

Τὸ πῦρ, τοῦ πυρός. Τὸ πῶυ, τοῦ πώεος.

Τὸ φῶς, τοῦ φωτός. Τὸ ὕδωρ, τοῦ ὕδατος.

ΚΕΦ. Ε'.

Περὶ τῶν Συνηρημένων Κλίσεων.

§. μς'. Εἰσὶ δὲ καὶ ἄλλαι πέντε Κλίσεις Συνηρημέναι καλούμεναι, ἀπὸ τῆς πέμπτης Κλίσεως κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι.

Πρώτη τῶν Συνηρημένων.

§. μζ'. Πρώτη Κλίσις τῶν συνηρημένων ἐστιν, ἀρσενικῶν, θηλυκῶν, καὶ κοινῶν Ὀνομάτων, ληγόντων εἰς ης, καὶ οὐδετέρων εἰς ες, καὶ εἰς ος· ὧν ἡ γενικὴ διὰ τοῦ εος εἰς ους κατὰ κρᾶσιν γίνεται.

§. μή. Ὁ Δημοσθένης, τοῦ Δημοσθένεος, ους· τῷ Δημοσθένεϊ, ει· τὸν Δημοσθένεα, η· ὦ Δημόσθενες καὶ ὦ Δημοσθένης. Τὼ Δημοσθένεα, η. τοῖν Δημοσθενέοιν, οἶν· ὦ Δημοσθένεε, η. Οἱ Δημοσθένεες, εις· τῶν Δημοσθενέων, ὧν· τοῖς Δημοσθένεσι, τοὺς Δημοσθένεας, εις· ὦ Δημοσθένεες, εις.

§. μθ'. Ἡ τριήρης, τῆς τριήρεως, ους· τῇ τριήρει, ει· τὴν τριήρεα, η.

§. ν'. Ὁ καὶ ἡ ἀληθὴς, τοῦ καὶ τῆς ἀληθέους, οῦς· τῷ καὶ τῇ ἀληθεῖ, εῖ· τὸν καὶ τὴν ἀληθέα, η· ὦ ἀληθὲς, καὶ ὦ ἀληθὴς. Τὼ καὶ τὰ ἀληθέα, η· τοῖν καὶ ταῖν ἀληθέοιν, οἶν· ὦ ἀληθέα, η. Οἱ καὶ αἱ ἀληθέες, εῖς· τῶν ἀληθέων, ὧν· τοῖς καὶ ταῖς ἀληθέσι, τοὺς καὶ τὰς ἀληθέες, εῖς· ὦ ἀληθέας, εῖς.

§. να. Τὸ ἀληθὲς, τοῦ ἀληθέους, οῦς· τῷ ἀληθεῖ, εῖ· τὸ ἀληθὲς, ὦ ἀληθές· Τω ἀληθέε, η· τοῖν ἀληθέοιν, οἶν· ὦ ἀληθέε, η. Τὰ ἀληθέα, η. τῶν ἀληθέων, ὧν. τοῖς ἀληθέσι, τὰ ἀληθέα, η.

§. νε. Τὸ τεῖχος, τοῦ τείχεος, ους· τῷ τείχει, ει· τὸ τεῖχος, ὦ τεῖχος. Τὼ τείχεε, η· τοῖν τειχέοιν, οἶν· ὦ τείχεε, η. Τὰ τείχεα, η· τῶν τειχέων, ὧν· τοῖς τείχεσι, τὰ τείχεα, η· ὦ τείχεα, η.

Δευτέρα τῶν Συνηρημένων.

§. νγ'. Δευτέρα Κλίσις τῶν συνηρημένων ἐστὶν, ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν καὶ ἐπικοίνων ὀνομάτων, εἰς ις ληγόντων, καὶ οὐδετέρων εἰς ι· ὧν ἡ γενικὴ εἰς εως Ἀττικῶς· ἡ Δοτικὴ εἰς ει· κατὰ συναίρεσιν· ἡ Αἰτιατικὴ εἰς ιν.

§. νδ'. Ὁ ὄφις· τοῦ ὄφεως· τῷ ὄφει· ει· τὸν ὄφιν

φιν, ὦ ὄφι, καὶ ὦ ὄφις. Τὼ ὄφεε, η· τοῖν ὀφέοιν καὶ ὄφεων· ὦ ὄφαε, η. Οἱ ὄφεες, εις· τῶν ὄφεων, τοῖς ὄφεσι, τοὺς ὄφεας, εις· ὦ ὄφεες, εις.

§. νέ. Ἡ πόλις, τῆς πόλεως, τῇ πόλεϊ, ει· τὴν πόλιν, ὦ πόλει, καὶ ὦ πόλις. Τὰ πόλεε, η· ταῖν πολέοιν, καὶ πόλεων· ὦ πόλεε, η. Αἱ πόλεες, εις· τῶν πόλεων, ταῖς πόλεσι, τὰς πόλεας, εις· ὦ πόλεες, εις.

§. νς. Τὸ σίνηπι, τοῦ σινήπεως, τῷ σινήπεϊ, ει. τὸ σίνηπι, ὦ σίνηπι. Τὼ σινήπεε, η· τοῖν σινηπέοιν, καὶ σινήπεων. Τὰ σινήπεα, η· τῶν σινήπεων, τοῖς σινήπεσι, τὰ σινήπεα, η.

Τρίτη τῶν Συνηρημένων.

§. νζ. Τρίτη Κλίσις τῶν συνηρημένων ἐστὶν, ἀρσενικῶν Ὀνομάτων, εἰς ευς ληγόντων· ὧν ἡ Γενικὴ εἰς εως Ἀττικῶς γίνεται.

§. νη. Ὁ βασιλεὺς, τοῦ βασιλέως, τῷ βασιλεῖ, εἰ· τὸν βασιλέα, ὦ βασιλεῦ, καὶ ὦ βασιλεύς. Τὼ βασιλέε, ῆ· τοῖν βασιλέοιν, ὦ βασιλέε, ῆ. Οἱ βασιλέες, εἰς. τῶν βασιλέων, τοῖς βασιλεῦσι, τοὺς βασιλέας, εἰς· ὦ βασιλέες, εἰς.

Τετάρτη τῶν Συνηρημένων.

§. νθ. Τετάρτη Κλίσις τῶν συνηρημένων ἐστὶ, θηλυκῶν Ὀνομάτων, εἰς ω, καὶ εἰς ως ληγόντων· ὧν ἡ γενικὴ διὰ τοῦ ους οὖσα εἰς ους κατὰ κρᾶσιν γίνεται.

§. ξ.

§. ξ. Ἡ Λητὼ, τῆς Λητόος, οὖς· τῇ Λητοΐ, οἳ· τὴν Λητόα, ὠ· ὦ Λητοΐ. Τὰ Λητὼ, ταῖν Λητοῖν, ὦ Λητώ. Αἱ Λητοὶ, τῶν Λητῶν, ταῖς Λητοῖς, τὰς Λητοὺς, ὦ Λητοί.

§. ξα. Ἡ αἰδὼς, τῆς αἰδόος, οὖς· τῇ αἰδοΐ, οἳ· τὴν αἰδόα, ὠ· ὦ αἰδοῖ. Τὰ αἰδὼ, ταῖν αἰδοῖν, ὦ αἰδώ. Αἱ αἰδοὶ, τῶν αἰδῶν, ταῖς αἰδοῖς, τὰς αἰδοὺς, ὦ αἰδοί.

Πέμπτη τῶν Συνηρημένων.

§. ξβ. Πέμπτη Κλίσις τῶν συνηρημένων, ἐστὶν οὐδετέρων ὀνομάτων, εἰ ας, καὶ εἰς ρας ληγόντων, ὧν ἡ Γενικὴ εἰς ατος Κοινῶς, καὶ εἰς ως Ἀττικῶς γίνεται.

§. ξγ. Τὸ κρέας, τοῦ κρέατος Κοινῶς, καὶ κρέαος, ως, Ἀττικῶς, τῷ κρέατι· καὶ κρέαϊ, α· τὸ κρέας, ὦ κρέας. Τὼ κρέατε, καὶ κρέαε, α· τοῖν κρεάτοιν, καὶ κρεάοιν, ῶν· ὦ κρέατε, καὶ κρέαε, α· Τὰ κρέατα, καὶ κρέαα, α· τῶν κρεάτων, καὶ κρεάων, ῶν· τοῖς κρέασι, τὰ κρέατα, καὶ κρέαα, α· ὦ κρέατα, καὶ κρέαα, α.

§. ξδ. Τὸ κέρας· τοῦ κέρατος· καὶ κέραος· ως· τῷ κερατι· καὶ κέραϊ· α· τὸ κέρας· ὦ κέρας· καὶ τὰ λοιπὰ ὁμοίως τῷ κέρατι.

ΚΕΦ. ς'.

Περὶ ἑτέρων Ὀνομάτων Συναιρουμένων.

§. ξε. Εἰσὶ καὶ ἕτερά τινα Ὀνόματα συναιρούμενα

να· τὰ μὲν, ἐν πάσαις ταῖς πτώσεσι· τὰ δὲ, ἐν ὀλίγαις τισίν· ὅθεν καὶ τὰ μὲν ὁλοπαθῆ καλοῦνται· τὰ δὲ, ὀλιγοπαθῆ.

ΟΛΟΠΑΘΗ ΟΝΟΜΑΤΑ.

Τῆς Πρώτης τῶν Ἰσοσυλλάβων.

§. ξς'. Ὁ Ἑρμέας, ῆς· τοῦ Ἑρμέου, οῦ· τῷ Ἑρμέᾳ, ῇ· τὸν Ἑρμέαν, ῆν· ὦ Ἑρμέα, ῆ· οὕτω καὶ Ἀπελέας, ῆς, καὶ Ποδέας, ῆς.

Τῆς Δευτέρας τῶν Ἰσοσυλλαβων.

§. ξζ'. Ἡ μνάα, ᾶ· τῆς μνάας, ᾶς· τῇ μνάᾳ, ᾷ· τὴν μνάαν, ᾶν· ὦ μνάα, ᾶ. Αἱ μνάαι, αἱ· τῶν μνάων, ῶν· ταῖς μνάαις, αἷς· τὰς μνάας, ᾶς· ὦ μνάαι, αἱ.
Ἡ γέα, ᾶ. τῆς γέας, ᾶς· τῇ γέᾳ, γῇ· τὴν γέαν, ᾶν. ὦ γέα, ᾶ.

Τῆς Τρίτης τῶν Ἰσοσυλλάβων.

§. ξη'. Ὁ νόος, οῦς· τοῦ νόου, οῦ· τῷ νόῳ, ῷ· τὸν νόον, νοῦν· Οὕτω καὶ πλόος, οῦς· καὶ ῥόος, οῦς· καὶ ἁπλόος, οῦς· καὶ διπλόος, οῦς· καὶ τριπλόος, οῦς· ὧν καὶ τὰ θηλυκὰ, καὶ οὐδέτερα συναιροῦνται. ἡ ἁπλόα, ᾗ· τὸ ἁπλόον, οῦν· ἡ διπλόα, ᾗ· τὸ διπλόον, οῦν.
Ἔτι ὁ Χρύσεος, οῦς· ἡ χρυσέα, ᾗ· τὸ χρύσεον, οῦν. Ὁ ἀργύρεος, οῦς· ἡ ἀργυρέα, ᾶ· τὸ ἀργύρεον, οῦν.

οῦν· καὶ τὰ ὅμοια.
Ἔτι τὸ ὀσέον, οῦν· τοῦ ὀσέου, οῦ· τῷ ὀσέῳ, ῷ· τὸ ὀσέον, οῦν. Τὰ ὀσέα, ᾶ· τῶν ὀσέων, ῶν· τοῖς ὀσέοις, οῖς· τὰ ὀσέα, ᾶ· ὦ ὀσέα, ᾶ.

Τῆς Πέμπτης τῶν Περιττοσυλλάβων.

§. ξθ'. Ὁ Σιμόεις, οῦς· τοῦ Σιμόεντος, οῦντος· Ὁ Ξενοφῶν, ῶν· τοῦ Ξενοφῶντος, ῶντος.

Τῆς Πρώτης τῶν Συνηρημένων.

§. ο'. Ὁ Ἡρακλέης, ῆς· τοῦ Ἡρακλέους, έους· τῷ Ἡρακλέεϊ, Ἡρακλέει καὶ Ἡρακλεῖ· τὸν Ἡρακλέεα, Ἡρακλέα καὶ Ἡρακλῆ, καὶ Ἡρακλῆν Ἀττικῶς· ὦ Ἡράκλεες, εις.
Οὕτω καὶ Θεμιστοκλέης, ῆς· καὶ Περικλέης, ῆς· καὶ Σοφοκλέης, ῆς· καὶ ἄλλα τινά.

ΟΛΙΓΟΠΑΘΗ.

Τῆς Πέμπτης τῶν Περιττοσυλλάβων.

§. οα'. Ὁ ἡδὺς, τοῦ ἡδέος, τῷ ἡδεῖ, εῖ, τὸν ἡδέα, ἡδύν, ὦ ἡδὺ, καὶ ὦ ἡδύς. Τὼ ἡδέε, τοῖν ἡδέοιν, ὦ ἡδέε. Οἱ ἡδέες, εἷς· τῶν ἡδέων, τοῖς ἡδέσι, τοὺς ἡδέας, εἷς· ὦ ἡδέες, εἷς.

§. οβ'. Ὁ βότρυς, τοῦ βότρυος, τῷ βότρυϊ, τὸν βότρυα, βότρυν· ὦ βότρυ, καὶ ὦ βότρυς. Τὼ βότρυε, τοῖν βοτρύοιν, ὦ βότρυε. Οἱ βότρυες, υς· τῶν βοτρύων, τοῖς βότρυσι, τοὺς βότρυας, υς·

ὦ βότρυες, υς.

§. ογ'. Ὁ ἰχθὺς, τοῦ ἰχθύος, τῷ ἰχθυΐ, τὸν ἰχθῦν, ὦ ἰχθύς. Τὼ ἰχθύε, τοῖν ἰχθύοιν, ὦ ἰχθύε. Οἱ ἰχθύες, ῦς· τῶν ἰχθύων, τοῖς ἰχθύσι, τοὺς ἰχθύας, ῦς· ὦ ἰχθύες, ῦς.

§. οδ'. Ἡ ὀφρῦς, τῆς ὀφρύος, τῇ ὀφρυΐ, τὴν ὀφρῦν. Αἱ ὀφρύες, ῦς· τῶν ὀφρύων, ταῖς ὀφρύσι, τὰς ὀφρύας, ῦς. ὦ ὀφρύες, ῦς. οὕτω καὶ ἡ ἀχλὺς, τῆς ἀχλύος, τῇ ἀχλυΐ, τὴν ἀχλὺν, ὦ ἀχλύς.

§. οε'. Τὸ ἄσυ, τοῦ ἄσεως, τῷ ἄσει, ει· τὸ ἄσυ, ὦ ἄσυ, Τὰ ἄσεα, τῶν ἄσεων, τοῖς ἄσεσι, τὰ ἄσεα.

§. ος'. Ὁ πρέσβυς, τοῦ πρέσβεως, τῷ πρέσβει, ει, τὸν πρέσβεα, πρέσβυν· ὦ πρέσβυ, καὶ ὦ πρέσβυς. Οἱ πρέσβεες, εις· τῶν πρέσβεων, τοῖς πρέσβεσι, τοὺς πρέσβεας, εις. ὦ πρέσβεες εις. οὕτω καὶ πέλεκυς, πελέκεως· καὶ πῆχυς, πήχεως· Ἀττικὰ δὲ τὰ τοιαῦτα.

§. οζ'. Ὁ βοῦς, τοῦ βοὸς, τῷ βοΐ, τὸν βόα, καὶ βοῦν, ὦ βοῦ. Οἱ βόες, καὶ βοῦς· τῶν βοῶν, τοῖς βουσὶ, τοὺς βόας καὶ βοῦς, ὦ βόες καὶ βοῦς.

§. οη'. Ἡ κλεὶς, τῆς κλειδὸς, [illegible]δὶ, τὴν κλεῖδα, καὶ κλεῖν. Αἱ κλεῖδες, καὶ κλεῖς· τῶν κλειδῶν, ταῖς κλησὶ, τὰς κλεῖδας, καὶ κλεῖς· ὦ κλεῖδες, καὶ κλεῖς.

§. οθ'. Ἡ ὄρνις, τῆς ὄρνιθος, τῇ ὄρνιθι, τὴν ὄρνιθα, καὶ ὄρνιν· ὦ ὄρνις. Αἱ ὄρνιθες, καὶ ὄρνεις· τῶν ὀρνίθων, ταῖς ὄρνησι, τὰς ὄρνιθας, καὶ ὄρνεις· ὦ ὄρνιθες, καὶ ὄρνεις.

§. π'. Ἡ ἔρις, τῆς ἔριδος, τῇ ἔριδι, τὴν ἔριδα, καὶ ἔριν. Αἱ ἔριδες, καὶ ἔρεις, τῶν ἐρίδων, ταῖς ἔρισι, τὰς ἔριδας, καὶ ἔρεις· ὦ ἔριδες, καὶ ἔρεις.

Ἔτι τὰ εἰς ων. Συγκριτικά.

§. πα'. Ὁ καὶ ἡ μείζων, τὸν καὶ τὴν μείζονα, καὶ μείζω. Οἱ καὶ αἱ μείζονες, καὶ μείζους· τοὺς καὶ τὰς μείζονας, καὶ μείζους· ὧν καὶ τὰ οὐδέτερα ἐν πληθυντικῷ ἀριθμῷ συναιροῦνται· τὰ μείζονα, καὶ μείζω. οὕτω δὲ καὶ κρείττων, ἐλάττων, καὶ τὰ ὅμοια.

ΚΕΦ. Ζ'.

Περὶ Ἀνωμάλων Ὀνομάτων, εἴτουν, Ἑτεροκλέτων.

§. πβ'. Ὁ πολὺς, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸν πολύν. Τὼ πολλὼ, τοῖν πολλοῖν, οἱ πολλοὶ, τῶν πολλῶν, τοῖς πολλοῖς, τοὺς πολλοὺς, ὦ πολλοί. Τὸ πολὺ, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸ πολύ. τὰ δὲ λοιπὰ ἐπὶ τὰν τρίτην.

§. πγ'. Ὁ μέγας, τοῦ μεγάλου, τῷ μεγάλῳ, τὸν μέγαν. Καὶ τὸ μέγα, τοῦ μεγάλου, τῷ μεγάλῳ, τὸ μέγα. τὰ δὲ λοιπὰ ὁμοίως ἐπὶ τὴν τρίτην.

§. πδ'.

§. πδ'. Ὁ Ζεὺς, τοῦ Διὸς, τῷ Διΐ, τὸν Δία, ὦ Ζεῦ. Ὁ κύων, τοῦ κυνὸς, τῷ κυνὶ, τὸν κύνα.

§. πε'. Ἡ γυνὴ, τῆς γυναικὸς, τῇ γυναικὶ, τὴν γυναῖκα, ὦ γύναι. Αἱ γυναῖκες, τῶν γυναικῶν.

§. πς'. Ὁ Μωϋσῆς, τοῦ Μωϋσέως, τῷ Μωϋσεῖ, τὸν Μωϋσέα, καὶ Μωϋσῆν, ὦ Μωϋσῆ.

§. πζ. Ὁ δεῖνα, τοῦ δεῖνος, τῷ δεῖνι, τὸν δεῖνα. Ἡ δεῖνα, τῆς δεῖνος, τῇ δεῖνι, τὴν δεῖνα.

Τὸ δεῖνα, τοῦ δεῖνος, τῷ δεῖνι, τὸ δεῖνα· τὰ δὲ πληθυντικὰ, ἀκλίτως· οἱ δεῖνα, τῶν δεῖνα, τοῖς δεῖνα, τοὺς δεῖνα.

§. πη'. Τὸ ὕδωρ, τοῦ ὕδατος, τῷ ὕδατι.

Τὸ ἦπαρ, τοῦ ἥπατος, τῷ ἥπατι.

Τὸ ἔαρ, τοῦ ἔαρος καὶ ἦρος· τῷ ἔαρι καὶ ἦρι.

Τὸ φρέαρ, τοῦ φρέατος, τῷ φρέατι.

Τὸ γόνυ, τοῦ γόνατος, τῷ γόνατι.

Ἀνώμαλα κατὰ γένος.

§. πθ'. Ὁ δεσμὸς, οἱ δεσμοὶ, καὶ τὰ δεσμά.

Τὸ σάδιον, τὰ σάδια, καὶ οἱ σάδιοι.

Ὁ τάρταρος, τὰ τάρταρα· καὶ ἄλλα ποιητικά.

Ἔτι τὰ διττὰ τῷ γένει.

§. ι'. Ὁ σκότος, καὶ τὸ σκότος· Ὁ δεῖπνος, καὶ τὸ δεῖπνον. Ὁ ἔλεος, καὶ τὸ ἔλεος.

Ἔτε-

Ἕτερα Ὀνόματα Ἄκλιτα.

§. ια'. Ἄκλιτα, δέ εἰσι, τὰ Ἑβραϊκὰ, Ἀδὰμ, Νῶε, Ἀβραὰμ, Ἰακὼβ, Δαβίδ.

§. ιβ'. Ἔτι τὰ Ἀριθμητικὰ ἀπὸ τῶν πέντε μέχρι τῶν ἑκατόν· πέντε, ἕξ, ἑπτά, κ. τ. λ.

§. ιγ'. Ἔτι τὰ τῶν γραμμάτων· ἄλφα, βῆτα, κ. τ. λ.

§. ιδ'. Ἔτι δὲ τὸ βρέτας, δέμας, σέβας, σέλας, δέπας, ὄναρ, ὕπαρ, ὄφελος, καὶ χρεών.

ΚΕΦ. Η'.

Περὶ Ῥήματος.

§. ιε'. Ῥῆμα δὲ, τὸ μὲν, Ἐνεργητικὸν, τὸ δὲ, Παθητικὸν, τὸ δὲ, Οὐδέτερον. Παρέπεται δὲ αὐτῷ ἑπτὰ, Ἔγκλισις, Διάθεσις, Εἶδος, Σχῆμα, Πρόσωπον, Ἀριθμὸς, καὶ Χρόνος.

Περὶ Ἐγκλίσεων.

§. ις'. Ἐγκλίσεις μέν εἰσι πέντε· Ὁριστικὴ, οἷον, τύπτω. Προσακτικὴ, οἷον, τύπτε. Εὐκτικὴ, οἷον, εἴθε τυπτοιμι. Ὑποτακτικὴ, οἷον, ἐὰν τύπτω. Ἀπαρέμφατος, οἷον, τύπτειν.

Περὶ Διαθέσεων.

§. ιζ'. Διαθέσεις, δὲ πέντε· Ἐνεργητικὴ, οἷον, τύπτω. Παθητικὴ, οἷον, τύπτομαι. Οὐδετέρα, οἷον, ὑγιαίνω. Μέση, οἷον, βιάζομαι. Ἐπίμεσος, , μάχομαι.

Περὶ

Περὶ Εἰδῶν.

§. υη'. Εἴδη δὲ, δύο. Πρωτότυπον, οἷον, ἄρδω. Παράγωγον, οἷον, ἀρδεύω.

Περὶ Σχημάτων.

§. υθ'. Σχήματα δὲ, δύω, Ἁπλοῦν, οἷον, φέρω. Σύνθετον, οἷον, ἐπιφέρω.

Περὶ Προσώπων.

§. ρ'. Πρόσωπα δὲ, τρία. Πρῶτον, οἷον, τύπτω. Δεύτερον, οἷον, τύπτεις. Τρίτον, οἷον, τύπτει.

Περὶ Ἀριθμῶν.

§. ρα'. Ἀριθμοὶ δὲ, τρεῖς. Ἑνικὸς, οἷον, τύπτω. Δυϊκὸς, οἷον, τύπτετον. Πληθυντικὸς, οἷον, τύπτομεν.

Περὶ Χρόνων.

§. ρβ'. Χρόνοι δὲ, ἓξ. Ἐνεστὼς, οἷον, τύπτω. Παρατατικὸς, οἷον, ἔτυπτον. Παρακείμενος, οἷον, τέτυφα. Ὑπερσυντελικὸς, οἷον, ἐτετύφειν. Ἀόριστος, οἷον, ἔτυψα. Μέλλων, οἷον, τύψω.

Περὶ Συζυγιῶν.

§. ργ'. Κλίσεις δὲ Ῥημάτων, εἴτουν Συζυγίαι. ἔσωσαν μὲν πρῶτον τῶν βαρυτόνων, ἓξ.

Πρώ-

Πρώτη.

§. ρδ'. Πρώτη Συζυγία ἐστὶ, τῶν βαρυτόνων Ῥημάτων, τῶν ληγόντων εἰς β, π, φ, πτ· οἷον, λείβω, τέρπω, γράφω, τύπτω· ὧν, ὁ Μέλλων εἰς ψ· οἷον, λείψω, τέρψω, γράψω, τύψω· ὁ Παρακείμενος εἰς φ· οἷον, λέλειφα, τέτερφα, γέγραφα, τέτυφα.

Δευτέρα.

§. ρε'. Δευτέρα ἐστὶ, τῶν ληγόντων εἰς γ, κ, χ, κτ, οἷον, λέγω, πλέκω, τρέχω, τίκτω· ὧν ὁ Μέλλων εἰς ξ· οἷον, λέξω, πλεξω, τρέξω, τέξω· ὁ Παρακείμενος εἰς χ· οἷον, λέλεχα, πέπλεχα, τέτρεχα, τέτεχα.

Τρίτη.

§. ρς'. Τρίτη ἐστὶ, τῶν ληγόντων εἰς δ, θ, τ· οἷον, ἄρδω, πλήθω, ἀνύτω· ὧν ὁ Μέλλων, εἰς σ· οἷον, ἄρσω, πλήσω, ἀνύσω· ὁ Παρακείμενος εἰς κ· οἷον, ἦχα, πέπληκα, ἤνυκα.

Τετάρτη.

§. ρς'. Τετάρτη ἐστὶ, τῶν εἰς ζ, ἢ δύο, σσ, Κοινῶς, ἢ δύο ττ Ἀττικῶς· οἷον, φράζω, ἀρύσσω, καὶ ἀρύττω· καὶ τὰ μὲν εἰς ζω, ποτὲ μὲν τὸ ξ ἐν τῷ Μέλλοντι ἔχουσιν· οἷον, παίζω, παίξω· ποτὲ δὲ τὸ σ· οἷον, βαδίζω, βαδίσω. τὰ δὲ εἰς σσω,

ἢ εἰς ττω, ὡς ἐπιτοπλεῖστον εἰς ξω τὸν μέλλοντα ποιοῦσιν· οἷον, ὀρύσσω καὶ ὀρύττω, ὀρύξω. πλήσσω, καὶ πλήττω, πλήξω. ὧν, ὁ Παρακείμενος τὸ χ ἔχει· οἷον, ὄρυχα, πέπληχα. ἐξαιρείσθω τὰ εἰς σω τὸν μέλλοντα ποιοῦντα· οἷον, ἰμάσσω, ἱμάσω· ἰνάσσω, ἰνάσω· πλάσσω, πλάσω· πάσσω, πάσω· λεύσσω, λεύσω· ἀρέσσω, ἀρέσω· ὧν, ὁ Παρακείμενος, τὸ κ ἔχει.

Πέμπτη.

§. ρξ. Πέμπτη ἐστὶ, τῶν τεσσάρων ἀμεταβόλων, λ, μ, ν, ρ· οἷον, ψάλλω, νέμω, κρίνω, σπείρω· ὧν, ὁ Μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου περισπώμενός ἐστι, τὴν παραλήγουσαν βραχεῖαν ἔχων καὶ τὸ ἐν ἀμετάβολον, ἢ τὸ ε τῆς διφθόγγου ἐκβάλλων· οἷον, ψαλῶ, νεμῶ, κρινῶ, σπερῶ. ὁ Παρακείμενος εἰς κ· οἷον, ἔψαλκα, νενέμηκα, κέκρικα, ἔσπαρκα.

Ἕκτη.

§. ρη. Ἕκτη ἐστὶ, τῶν [illegible] καθαρόν· οἷον, ἱππεύω, πλέω, βασιλεύω, ἀκούω. ὧν, ὁ Μέλλων εἰς σ· οἷον, ἱππεύσω, πλεύσω, βασιλεύσω, ἀκούσω· ὁ Παρακείμενος εἰς κ· οἷον, ἱππευκα, βεβασίλευκα, ἤκουκα, Κοινῶς, καὶ ἀκήκοα, Ἀττι-

ΚΕΦ.

ΚΕΦ. Θ'.

Περὶ Σχηματισμοῦ τῶν Ρημάτων.

§. ρθ'. Κλίσις εἴτουν σχηματισμὸς τῶν βαρυτόνων Ρημάτων, κατά τε Ἔγκλισιν, καὶ Διάθεσιν, χρονικῶς τε ὁμοῦ, καὶ προσωπικῶς καὶ ἀριθμικῶς, ὧδε.

§. ρί. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς. Τύπτω, τύπτεις, τύπτει.
τύπτετον, τύπτετον.
τύπτομεν, τύπτετε, τύπτουσι.

Παρατατικός. Ἔτυπτον, ἔτυπτες, ἔτυπτε.
ἐτύπτετον, ἐτυπτέτην.
ἐτύπτομεν, ἐτύπτετε, ἔτυπτον.

Παρακείμενος. Τέτυφα, τέτυφας, τέτυφε.
τετύφατον, τετύφατον.
τετύφαμεν, τετύφατε, τετύφασι.

Καὶ μέσος διὰ π. Τέτυπα, τέτυπας, τέτυπε.
τετύπατον, τετύπατον.
τετύπαμεν, τετύπατε, τετύπασι.

Ὑπερσυντελικός. Ἐτετύφειν, ἐτετύφεις, ἐτετύφει,
ἐτετύφειτον, ἐτετυφείτην.
ἐτετύφειμεν, ἐτετύφειτε, ἐτετύπεισαν.

Καὶ μέσος διὰ π. Ἐτετύπειν, ἐτετύπεις, ἐτετύπει.
ἐτετύπειτον, ἐτετυπείτην.
ἐτετύπειμεν, ἐτετύπειτε, ἐτετύπεισαν.

Ἀόρ-

Ἀόριστος α΄.	Ἔτυψα, ἔτυψας, ἔτυψε.
	ἐτύψατον, ἐτυψάτην.
	ἐτύψαμεν, ἐτύψατε, ἔτυψαν.
Ἀόριστος β΄.	Ἔτυπον, ἔτυπες, ἔτυπε.
	ἐτύπετον, ἐτυπέτην.
	ἐτύπομεν, ἐτύπετε, ἔτυπον.
Μέλλων α΄.	Τύψω, τύψεις, τύψει.
	τύψετον, τύψετον.
	τύψωμεν, τύψετε, τύψουσι.
Μέλλων β΄.	Τυπῶ, τυπεῖς, τυπεῖ.
	τυπεῖτον, τυπεῖτον.
	τυποῦμεν, τοπεῖται, τυποῦσι.

§. ριά. Προστακτικὰ Ἐνεργητικά.

Ἐνεστὼς, καὶ	Τύπτε, τυπτέτω.
Παρατατικός.	τύπτετον, τυπτέτων.
	τύπτετε, τυπτέτωσαν.
Παρακείμενος,	Τέτυφε, τετυφέτω.
καὶ Ὑπερσυντελικ.	τετύφετον, τετυφέτων.
	τετύφετε, τετυφέτωσαν.
καὶ μέσος διὰ π.	Τέτυπε, τετυπέτω.
Ἀόριστος α΄.	τύψον, τυψάτω.
	τύψατον, τυψάτων.
	τύψατε, τυψάτωσαν.
Ἀόριστος β΄.	Τύπε, τυπέτω.
	τύπετον, τυπέτων.
	τύπετε, τυπέτωσαν.

§. ριέ.

§. ριβ΄. Εὐκτικὰ Ἐνεργητικά.

Ἐνεστὼς καὶ	Τύπτοιμι, τύπτοις, τύπτοι.
Παρατατικός.	τύπτοιτον, τυπτοίτην.
	τύπτοιμεν, τύπτοιτε, τύπτοιεν.
Παρακείμενος,	Τετύφοιμι, τετύφοις, τετύφοι.
καὶ Ὑπερσυντελικ.	τετύφοιτον, τετυφοίτην.
	τετύφοιμεν, τετύφοιτε, τετύφοιεν.
καὶ μέσος διὰ π.	Τετύποιμι, τετύποις, τετύποι.
Ἀόριστος α΄.	Τύψαιμι, τύψαις, τύψαι.
	τύψαιτον, τυψαίτην.
	τύψαιμεν, τύψαιτε, τύψαιεν.
Αἰολικῶς.	Τύψεια, τύψειας, τύψειε.
	τυψείατον, τυψειάτην.
	τυψείαμεν, τυψείατε, τύψειαν.
Ἀόριστος β΄.	Τύποιμι, τύποις, τύποι.
	τύποιτον, τυποίτην.
	τύποιμεν, τύποιτε, τύποιεν.
Μέλλων α΄.	Τύψοιμι, τύψοις, τύψοι.
Μέλλων β΄.	Τυποῖμι, τυποῖς, τυποῖ.
	τυποῖτον, τυποίτην.
	τυποῖμεν, τυποῖτε, τυποῖεν.

§. ριγ΄. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἐνεστὼς, καὶ	Ἐὰν τύπτω, τύπτῃς, τύπτῃ.
Παρατατικός.	Ἐὰν τύπτητον, τύπτητον.
	Ἐὰν τύπτωμεν, τύπτητε, τύπτωσι.

Παρα-

Παρακείμενος.	Ἐὰν τετύφω, τετύφῃς, τετύφῃ.
καὶ Ὑπερσυντ.	Ἐὰν τετύφητον, τετύφητον.
	Ἐὰν τετύφωμεν, τετύφητε, τετύφωσι.
καὶ μέσος διὰ π.	Ἐὰν τετύπω, τετύπῃς, τετύπῃ.
Ἀόριστος α΄.	Ἐὰν τύψω, τύψῃς, τύψῃ.
Ἀόριστος β΄.	Ἐὰν τύπω, τύπῃς, τύπῃ.

§. ριδ΄. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἐνεσὼς, καὶ Παρατατικός.	Τύπτειν.
Παρακείμ. καὶ Ὑπερσυντ.	Τετυφέναι.
καὶ μέσος διὰ π.	Τετυπέναι.
Ἀόριστος α΄.	Τύψαι.
Ἀόριστος β΄.	Τυπεῖν.
Μέλλων α΄.	Τύψειν.
Μέλλων β΄.	Τυπεῖν.

§. ριε΄. Σημείωσαι, ὅτι τοῦ πληθυντικοῦ πρώτου προσώπου τῶν Ἐνεργητικῶν, καὶ Παθητικῶν Ῥημάτων εἰς μεν, λήγοντος, ἀπολύει τὸ Δυϊκὸν πρῶτον πρόσωπον. Ἔτι τοῦ Πληθυντικοῦ τρίτου προσώπου λήγοντος εἰς ι, ἢ εἰς αι, τὰ Δυϊκὰ δεύτερα, καὶ τρίτα πρόσωπα ὅμοιά εἰσιν. Ὅτε δὲ ἄλλως ἔχει, ἀνόμοια διατελοῦσιν. Ἔτι Μέλλοντες ἐν τοῖς προσακτικοῖς, καὶ ὑποτακτικοῖς οὐκ εἰσὶν, οἱ Ἀόριστοι δὲ τὴν τῶν Μελλόντων σημασίαν ἔχουσι.

ΚΕΦ.

ΚΕΦ. ΙΓ΄.

Περὶ Μετοχῆς.

§. ριϛ΄. Μετοχὴ δὲ ὡς καὶ τοὔνομα δηλοῖ, τοῦ Ὀνόματος, καὶ Ῥήματος μετέχει. Παρέπεται δὲ αὐτῇ. Γένος, Εἶδος, Σχῆμα, Ἀριθμὸς, Πτῶσις, Διάθεσις, Χρόνος. καὶ ἔτι Συζυγία, καὶ Κλίσις.

§. ριζ΄. Μετοχαὶ Ἐνεργητικαί.

Ἐνεσὼς, καὶ	Ὁ τύπτων, τοῦ τύπτοντος.
Παρατατικός.	Ἡ τύπτουσα, τῆς τυπτούσης.
	Τὸ τύπτον, τοῦ τύπτοντος.
Παρακείμενος,	Ὁ τετυφὼς, τοῦ τετυφότος.
καὶ Ὑπερσυντελ.	Ἡ τετυφυῖα, τῆς τετυφυίας.
	Τὸ τετυφὸς, τοῦ τετυφότος.
καὶ μέσος διὰ π.	Ὁ τετυπὼς, τοῦ τετυπότος.
	Ἡ τετυπυῖα, τῆς τετυπυίας.
	Τὲ τετυπὸς, τοῦ τετυπότος.
Ἀόριστος. α΄.	Ὁ τύψας, τοῦ τύψαντος.
	Ἡ τύψασα, τῆς τυψάσης.
	Τὸ τύψαν, τοῦ τύψαντος.
Ἀόριστος β΄.	Ὁ τυπὼν, τοῦ τυπόντος.
	Ἡ τυποῦσα τῆς τυπούσης.
	Τὸ τυπὸν, τοῦ τυπόντος.
Μέλλων α΄.	Ὁ τύψων, τοῦ τύψοντος.
	Ἡ τύψουσα, τῆς τυψούσης.
	Τὸ τύψον, τοῦ τύψοντος.

Μέλ-

Μέλλων δ'. Ὁ τυπῶν, τοῦ τυποῦντος.
Ἡ τυποῦσα, τῆς τυπούσης.
Τὸ τυποῦν, τοῦ τυποῦντος.

§. ριή. Δεῖ δὲ εἰδέναι, ὅτι αἱ μετοχαὶ Ἐνεργητικαὶ ἐν ἀρσενικῷ, καὶ οὐδετέρῳ γένει κατὰ τὴν πέμπτην ἁπλῆν κλίνονται Κλίσιν, αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν.

§ ριθ'. Ὁριστικὰ Παθητικά.

Ἐνεστὼς. Τύπτομαι, τύπτῃ, τύπτεται.
τυπτόμεθον, τύπτεσθον, τύπτεσθον.
τυπτόμεθα, τύπτεσθε, τύπτονται.

Παρατατικός. Ἐτυπτόμην, ἐτύπτου, ἐτύπτετο.
ἐτυπτόμεθον, ἐτύπτεσθον, ἐτυπτέσθην.
ἐτυπτόμεθα, ἐτύπτεσθε, ἐτύπτοντο.

Παρακείμενος. Τέτυμμαι, τέτυψαι, τέτυπται.
τετύμεθον, τέτυφθον, τέτυφθον.
τετύμεθα, τέτυφθε, τετυμμένοι εἰσί, καὶ Ἰωνικῶς τετύφαται.

Ὑπερ-

Ὑπερσυντελ. Ἐτετύμμην, ἐτέτυψο, ἐτέτυπτο.
ἐτετύμεθον, ἐτέτυφθον, ἐτετύφθην.
ἐτετύμμεθα, ἐτέτυφθε, τετυμμένοι ἦσαν, καὶ Ἰωνικῶς ἐτετύφατο.

§. ρκ'. Σημείωσαι, ὅτι τοῦ ἑνικοῦ τρίτου προσώπου τοῦ παθητικοῦ Παρακειμένου, καὶ Ὑπερσυντελικοῦ πρὸ τοῦ τ σύμφωνον ἔχοντος, διὰ τὴν ἀσυνταξίαν, οὐ γίνεται τρίτον πρόσωπον πληθυντικόν, ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ διὰ Μετοχῆς, καὶ ὑπαρκτικοῦ Ῥήματος.

Μετ' ὀλίγον μέλ. Τετύψομαι, τετύψῃ, τετύψεται.
τετυψόμεθον, τετύψεσθον, τετύψεσθον.
τετυψόμεθα, τετύψεσθε, τετύψονται.

Ἀόριστος α'. Ἐτύφθην, ἐτύφθης, ἐτύφθη.
ἐτύφθητον, ἐτυφθήτην.
ἐτύφθημεν, ἐτύφθητε, ἐτύφθησαν.

καὶ δεύτ. διὰ π. Ἐτύπην, ἐτύπης, ἐτύπη.

Μέλλων α'. Τυφθήσομαι, τυφθήσῃ, τυφθήσεται.
τυφθησόμεθον, τυφθήσεσθον, τυφθήσεσθον.
τυφθησόμεθα, τυφθήσεσθαι, τυφθήσονται.

καὶ

καὶ β΄. διὰ π. Τυπήσομαι, τυπήσῃ, τυπήσεται.

Μέσος Ἀόρ. α΄. Ἐτυψάμην, ἐτύψω, ἐτύψατο.
ἐτυψάμεθον, ἐτύψασθον, ἐτυψάσθην.
ἐτυψάμεθα, ἐτύψασθε, ἐτύψαντο.

Μέσος Ἀόρ. β΄. Ἐτυπόμην, ἐτύπου, ἐτύπετο.
ἐτυπόμεθον, ἐτύπεσθον, ἐτυπέσθην.
ἐτυπόμεθα, ἐτύπεσθε, ἐτύποντο.

Μέσος μέλλων α΄. Τύψομαι, τύψῃ, τύψεται.
τυψόμεθον, τύψεσθον, τύψεσθον.
τυψόμεθα, τύψεσθε, τύψονται.

Μέσος Μέλλων β΄. Τυποῦμαι, τυπῇ, τυπεῖται.
τυπούμεθον, τυπεῖσθον, τυπεῖσθον.
τυπούμεθα, τυπεῖσθε, τυποῦνται.

§. ρκά. Προσακτικὰ Παθητικά.

Ἐνεστὼς, καὶ Παρατατικός. Τύπτου, τυπτέσθω.
τύπτεσθον, τυπτέσθων.
τύπτεσθε, τυπτέσθωσαν.

Παρακείμενος, καὶ Ὑπερσυντελικός. Τέτυψο, τετύφθω.
τέτυφθον, τετύφθων.
τέτυφθε, τετύφθωσαν.

Ἀόρ.

Ἀόριστος α΄. Τύφθητι, τυφθήτω.
τύφθητον, τυφθήτων.
τύφθητε, τυφθήτωσαν.

καὶ β΄. διὰ π. Τύπηθι, τυπήτω,

Μέσος Ἀόρ. α΄. Τύψαι, τυψάσθω.
τύψασθον, τυψάσθων.
τύψασθαι, τυψάσθωσαν.

Μέσος Ἀόρ. β΄. Τυποῦ, τυπέσθω.
τύπεσθον, τυπέσθων.
τύπεσθε, τυπέσθωσαν.

Εὐκτικὰ Παθητικά.

Ἐνεστὼς, καὶ Παρατατικός. Τυπτοίμην, τύπτοιο, τύπτοιτο.
τυπτοίμεθον, τύπτοισθον, τυπτοίσθην.
τυπτοίμεθα, τύπτοισθε, τύπτοιντο.

Παρακείμ. καὶ Ὑπερσυντ. Τετυμμένος εἴην, εἴης, εἴη.
τετυμμένω εἴητον, εἰήτην.
τετυμένοι εἶμεν, εἶτε, εἶησαν.

Μετ' ὀλίγ. Μέλ. Τετυψοίμην, τετοίψοιο, τετοίψοιτο.

Ἀόριστος α΄. Τυφθείην, τυφθείης, τυφθείη.
τυφθοίητον, τυφθειήτην.
τυφθείημεν, τυφθείητε, τυφθείησαν.

καὶ β΄. διὰ π. Τυπείην, τυπείης, τυπείη.

Μέλλων α΄. Τυφθησοίμην, τυφθήσοιο, τυφθήσοιτο.

τυ-

τυφθησοίμεθον, τυφθήσοισθον, τυφθησοίσθην.
τυφθησοίμεθα, τυφθήσοισθε, τυφθήσοιντο.

Μέλλων δ'. Τυπησοίμην, τυπήσοιο, τυπήσοιτο.

Μέσ. Ἀόρις. α'. Τυψαίμην, τύψαιο, τύψαιτο.
τυψαίμεθον, τύψαισθον, τυψαίσθην.
τυψαίμεθα, τύψαισθε, τύψαιντο.

Μέσ. Ἀόρ. δ'. Τυποίμην, τύποιο, τύποιτο.

Μέσος Μέλ. α'. Τυψοίμην, τύψοιο, τύψοιτο.

Μέσος Μέλ. δ'. Τυποίμην, τυποῖο, τυποῖτο.
τυποίμεθον, τυποῖσθον, τυποίσθην.
τυποίμεθα, τυποῖσθε, τυποῖντο.

§. ρκγ'. Ὑποτακτικὰ Παθητικά.

Ἐνεργ. καὶ Παρατατικός. Ἐὰν τύπτωμαι, τύπτῃ, τύπτηται.
Ἐὰν τυπτώμεθον, τύπτησθον, τύπτησθον.
Ἐὰν τυπτώμεθα, τύπτησθε, τύπτωνται.

Παρακείμενος, καὶ Ὑπερσυντελ. Τετυμμένος ἐὰν ὦ, ᾖς, ᾖ.
τετυμμένω ἐὰν ἦτον, ἦτον.
τετυμμένοι ἐὰν ὦμεν, ἦτε, ὦσι.

Ἀόριστος α'. Ἐὰν τυφθῶ, τυφθῇς, τυφθῇ.
Ἐὰν τυφθῆτον, τυφθῆτον.
Ἐὰν τυφθῶμεν, τυφθῆτε, τυφθῶσι.

καὶ δεύτ. διὰ π. Ἐὰν τυπῶ, τυπῇς, τυπῇ.

Μέσος Ἀόρις. α'. Ἐὰν τύψωμαι, τύψῃ, τύψηται.

Μέσος Ἀόρις. δ'. Ἐὰν τύπωμαι, τύπῃ, τύπηται.

§. ρκδ'. Ἀπαρέμφατα Παθητικά.

Ἐνεργ. καὶ Παρατατικός. Τύπτεσθαι.
Παρακείμεν. καὶ Ὑπερσυν. Τετύφθαι.
Μετ' ὀλίγον Μέλλων. Τετύψεσθαι.
Ἀόριστος α'. Τυφθῆναι.
καὶ β'. διὰ π. Τυπῆναι.
Μέλλων α'. Τυφθήσεσθαι.
Μέλλων β'. Τυπήσεσθαι.
Μέσος Ἀόριστος α'. Τύψασθαι.
Μέσος Ἀόριστος δ'. Τυπέσθαι.
Μέσος Μέλλων α'. Τύψεσθαι.
Μέσος Μέλλων δ'. Τυπεῖσθαι.

§. ρκε'. Μετοχαὶ Παθητικαί.

Ἐνεργ. καὶ Παρατατικός. Ὁ τυπτόμενος, τοῦ τυπτομένου.
Ἡ τυπτομένη, τῆς τυπτομένης.
Τὸ τυπτόμενον, τοῦ τυπτομένου.

Παρακείμενος, καὶ Ὑπερσυντελικ. Ὁ τετυμμένος, τοῦ τετυμμένου.
Ἡ τετυμμένη, τῆς τετυμμένης.
Τὸ τετυμμένον, τοῦ τετυμμένου.

Μετ' ὀλίγ. Μέλλ.	Ὁ τετυφόμενος, ἡ τετυφομένη, τὸ τετυφόμενον.
Ἀόριστος ά.	Ὁ τυφθεὶς, τοῦ τυφθέντος. Ἡ τυφθεῖσα, τῆς τυφθείσης. τὸ τυφθὲν, τοῦ τυφθέντος.
καὶ δεύτ. διὰ π.	Ὁ τυπεὶς, τοῦ τυπέντος. Ἡ τυπεῖσα, τῆς τυπείσης. Τὸ τυπὲν, τοῦ τυπέντος.
Μέλλων ά.	Ὁ τυφθησόμενος, ἡ τυφθησομένη, τὸ τυφθησόμενον.
καὶ δεύτ. διὰ π.	Ὁ τυπησόμενος, ἡ τυπησομένη, Τὸ τυπησόμενον.
Μέσος Ἀόρ. ά.	Ὁ τυψάμενος, ἡ τυψαμένη, τὸ τυψάμενον.
Μέσος Ἀόρ. β'.	Ὁ τυπόμενος, ἡ τυπομένη, τὸ τυπόμενον.
Μέσ. Μέλ. ά.	Ὁ τυψόμενος, ἡ τυψομένη, τὸ τυψόμενον.
Μέσ. Μέλ. β'.	Ὁ τυπούμενος, ἡ τυπουμένη, τὸ τυπούμενον.

§. ρκς'. Σημείωσαι, ὅτι αἱ Παθητικαὶ Μετοχαὶ, ἐν ἀρσενικῷ, καὶ οὐδετέρῳ γένη, κατὰ τὴν τρίτην ἁπλῆν κλίνονται Κλίσιν, χωρὶς τοῦ πρώτου καὶ δευτέρου ἀορίστου περιττοσυλλάβως κλινομένων ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει, αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν.

ΚΕΦ.

ΚΕΦ. ΙΑ.

Περὶ τῶν Περισπωμένων Ῥημάτων.

§. ρκζ'. Εἰσὶ δὲ καὶ ἕτεραι Συζυγίαι τῶν περισπωμένων Ῥημάτων τρεῖς, ἀπὸ τῆς ἕκτης Συζυγίας τῶν βαρυτόνων κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι.

Πρώτη τῶν Περισπωμένων.

§. ρκη'. Ἡ πρώτη συζυγία τῶν Περισπωμένων διὰ τοῦ εω προφέρεται· οἷον, ποιέω, ῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος, καὶ πάντων τῶν παρωχημένων, πλὴν τοῦ Παρατατικοῦ, τῷ η ἔχει· οἷον, πεποίηκα, ἐπεποιήκειν, ἐποίησα, ποιήσω· πλήν τινων διὰ τοῦ εσω τὸν μέλλοντα ποιούντων· οἷον, τελῶ, τελέσω· ὀλῶ, ὀλέσω· φρονῶ, φρονέσω, καὶ φρονήσω· αἰνῶ, αἰνέσω· ἀρκῶ, ἀρκέσω· καλῶ, καλέσω· φορῶ, φορεσω, καὶ φορήσω· πονῶ, πονέσω, καὶ πονήσω.

§. ρκθ'. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς.	Ποιέω, ῶ· ποιέεις, εῖς· ποιέει, εἰ.
	Ποιέετον, εῖτον· ποιέετον, εῖτον.
	Ποιέομεν, οῦμεν· ποιέετε, εῖτε· ποιέουσι, οῦσι.

Πα-

Παρατατικός. Ἔποίεον, ουν. ἐποίεας, εις. ἐποίεα, ει. ἐποιέετον, εἴτον. ἐποιεέτην, είτην. ἐποιέομεν, οῦμεν. ἐποιέεται, εἶτε. ἐποίεον, ουν.

Παρακείμενος. Πεποίηκα, πεποίηκας, πεποίηκε.

Ὑπερσυντελ. Ἐπεποιήκειν, ἐπεποιήκεις, ἐπεποιήκει.

Ἀόριστος ά. Ἐποίησα, ἐποίησας, ἐποίησε.

Μέλλων ά. Ποιήσω, ποιήσεις, ποιήσει.

§. ρλά. Προστακτικὰ Ἐνεργητικά.

Ἐνεστὼς, καὶ Ποίεε, ει. ποιεέτω, είτω.

Παρατατικός. Ποιέετον, εἴτον. ποιεέτων, είτων. Ποιέετε, εἶτε. ποιεέτωσαν, είτωσαν.

Παρακείμεν. Πεποίηκε, πεποιηκέτω.

Ἀόριστος ά. Ποίησον, ποιησάτω.

§. ρλα. Εὐκτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Ποιέοιμι, οῖμι. ποιέοις, οῖς. ποιέοι, οῖ. Ποιεοίτον, οἶτον. ποιεοίτην, οίτην. Ποιεοίμεν, οῖμεν. ποιέοιτε, οῖτε. ποιέοιεν οῖεν.

Παρακείμενος. Πεποιήκοιμι, πεποιήκοις, πεποιήκοι.

Ἀόριστος α. Ποιήσαιμι, ποιήσαις, ποιήσαι.

καὶ Αἰολικ. Ποιήσεια, ποιήσειας, ποιήσειε.

Μέλλων ά. Ποιησοίμι, ποιήσοις, ποιήσοι.

ρλβ'.

§. ρλβ'. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Ἐὰν ποιέω, ῶ. ποιέῃς, ῇς. ποιέῃ, ῇ. Ἐὰν ποιέητον, ἦτον. ποιεήτον, ήτον. Ἐὰν ποιέωμεν, ῶμεν. ποιέητε, ἦτε. ποιέωσι, ῶσι.

Παρακείμεν. Ἐὰν πεποιήκω, πεποιήκῃς, πεποιήκῃ.

Ἀόριστος ά. Ἐὰν ποιήσω, ποιήσῃς, ποιήσῃ.

§. ρλγ'. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἐνεστώς. Ποιέειν, εἶν.

Παρακείμενος. Πεποιηκέναι.

Ἀόριστος ά. Ποιῆσαι.

Μέλλων ά. Ποιήσειν.

§. ρλδ'. Μετοχαὶ Ἐνεργητικαί.

Ἐνεστώς. Ὁ ποιέων, ῶν. τοῦ ποιέοντος, οῦντος. Ἡ ποιέουσα, οῦσα. τῆς ποιεούσης, ούσης. Τὸ ποιέον, οῦν. τοῦ ποιέοντος, οῦντος.

Παρακείμενος Ὁ πεποιηκὼς, ἡ πεποιηκυῖα, τὸ πεποιηκός.

Ἀόριστος ά. Ὁ ποιήσας, ἡ ποιήσασα, τὸ ποιῆσαν.

Μέλλων ά. Ὁ ποιήσων, ἡ ποιήσουσα, τὸ ποιῆσον.

§. ρλε'. Ὁριστικὰ Παθητικά.

Ἐνεστώς. Ποιέομαι, οῦμαι. ποιέῃ, ῇ. ποιέεται, εἶται. Ποι-

Ποιεόμεθον, ούμεθον. ποιέεσθον, εῖσθον. ποιέεσθον, εῖσθον.

Ποιεόμεθα, ούμεθα. ποιέεσθε, εῖσθε. ποιέονται, οῦνται.

Παρατατικ. Ἐποιεόμην, ούμην. ἐπιέου, οῦ. ἐποιέετο, εῖτο.

Ἐποιεόμεθον, ούμεθον. ἐποιέεσθον, εῖσθον. ἐποιεέσθην, είσθην.

Ἐποιεόμεθα, ούμεθα. ἐποιέεσθε, εῖσθε. ἐποιέοντο, οῦντο.

Παρακείμεν. Πεποίημαι, πεποίησαι, πεποίηται.

Πεποιήμεθον, πεποίησθον, πεποίησθον.

Πεποιήμεθα, πεποίησθε, πεποίηνται.

Ὑπερσυντ. Ἐπεποιήμην, ἐπεποίησο, ἐπεποίητο.

Ἐπεποιήμεθον, ἐπεποίησθον, ἐπεποιήσθην.

Ἐπεποιήμεθα, ἐπεποίησθε, ἐπεποίηντο.

Ἀόριος α'. Ἐποιήθην, ἐποιήθης, ἐποιήθη.

Μέλλων α'. Ποιηθήσομαι, ποιηθήση, ποιηθήσεται.

Μέσ. Ἀόρ. α'. Ἐποιησάμην, ἐποιήσω, ἐποιήσατο.

Μέσ. μέλ. α'. Ποιήσομαι, ποιήση, ποιήσο.

§. ρλς'. Προσακτικὰ Παθητικά.

Ἐνεσῶς. Ποιέου, οῦ. ποιέεσθω, είσθω.

Ποιέ-

θ Ποιέεσθον, εῖσθον. ποιεέσθων, εῖσθων.

Ποιέσθε, εῖσθε. ποιεέσθωσαν, εἴσθωσαν.

Παρακείμ. Πεποίησο, πεποιήσθω.

Ἀόριος α'. Ποιήθητι, ποιηθήτω.

Μέσ. Ἀόρ. α'. Ποίησαι, ποιησάσθω.

§. ρλζ'. Εὐκτικὰ Παθητικά.

Ἐνεσῶς. Ποιεοίμην, οίμην. ποιέοιο, οῖο. ποιέοιτο, οῖτο.

Ποιεοίμεθον, οίμεθον, ποιέοισθον, οῖσθον. ποιεοίσθην, οίσθην.

Ποιεοίμεθα, οίμεθα. ποιέοισθε, οῖσθε. ποιέοιντο, οῖντο.

Παρακείμ. Πεποιήμην, πεποιῆο, πεποιῆτο.

θ Πεποιήμεθον, πεποιῆσθον, πεποιῆσθην.

μ Πεποιήμεθα, πεποιῆσθε, πεποιῆντο.

Μετ' ὀλίγ. Μέλ. Πεποιησοίμην, πεποιήσοιο, πεποιήσοιτο.

Πεποιησοίμεθον, πεποιήσοισθον, πεποιησοίσθην.

Πεποιησοίμεθα, πεποιήσοισθε, πεποιήσοιντο.

Ἀόριος α'. Ποιηθείην, ποιηθείης, ποιηθείη.

Μέλ-

Μέλλων ά. Ποιηθησοίμην, ποιηθήσοιο, ποιηθήσοιτο.
Μέσ. Ἀόρ. ά. Ποιησαίμην, ποιήσαιο, ποιήσαιτο.
Μέσ. Μέλ. ά. Ποιησοίμην, ποιήσοιο, ποιήσοιτο.

§. ρλη'. Ὑποτακτικὰ Παθητικά.

Ἐνεστώς. Ἐὰν ποιέωμαι, ῶμαι. ποιέῃ, ῇ. ποιέηται, ῆται.
Ἐὰν ποιεώμεθον, ώμεθον. ποιέησθον, ῆσθον. ποιέησθον, ῆσθον.
Ἐὰν ποιεώμεθα, ώμεθα. ποιέησθε, ῆσθε. ποιέωνται, ῶνται.

Παρακείμενος. Ἐὰν πεποιῶμαι, πεποιῇ, πεποιῆται.
Ἐὰν πεποιώμεθον, πεποιῆσθον, πεποιῆσθον.
Ἐὰν πεποιώμεθα, πεποιῆσθε, πεποιῶνται.

Ἀόριστος ά. Ἐὰν ποιηθῶ, ποιηθῇς, ποιηθῇ.
Μέσος Ἀόρ. ά. Ἐὰν ποιήσωμαι, ποιήσῃ, ποιήσηται.

§. ρλθ'. Ἀπαρέμφατα Παθητικά.

Ἐνεστώς. Ποιέεσθαι, ποιῆσθαι.
Παρακείμενος. Πεποιῆσθαι.
Μετ' ὀλίγ. Μέλ. Πεποιήσεσθαι.
Ἀόριστος ά. Ποιηθῆναι.
Μέλλων ά. Ποιηθήσεσθαι.
Μέσ. Ἀόρ. ά. Ποιήσασθαι.

Μέσ.

Μέσ. Μέλ. ά. Ποιήσεσθαι.

§. ρμ'. Μετοχαὶ Παθητικαί.

Ἐνεστώς. Ὁ ποιεόμενος, ούμενος, τοῦ ποιεομένου, ουμένου.
Ἡ ποιεομένη, ουμένη, τῆς ποιεομένης, ουμένης.
Τὸ ποιεόμενον, ούμενον, τοῦ ποιεομένου, ουμένου.

Παρακείμενος. Ὁ πεποιημένος, ἡ πεποιημένη, τὸ πεποιημένον.

Μετ' ὀλίγ. Μέλ. Ὁ πεποιησόμενος, ἡ πεποιησομένη, τὸ πεποιησόμενον.

Ἀόριστος ά. Ὁ ποιηθείς, ἡ ποιηθεῖσα, τὸ ποιηθέν.
Μέλλων ά. Ὁ ποιηθησόμενος, ἡ ποιηθησομένη, τὸ ποιηθησόμενον.

Μέσ. Ἀόρ. ά. Ὁ ποιησάμενος, ἡ ποιησαμένη, τὸ ποιησάμενον.

Μέσ. Μέλ. ά. Ὁ ποιησόμενος, ἡ ποιησομένη, τὸ ποιησόμενον.

Δευτέρα τῶν Περισπωμένων.

§. ρμά. Ἡ δευτέρα Συζυγία τῶν Περισπωμένων. διὰ τοῦ αω προφέρεται· οἷον, βοάω, ῶ. δράω, ῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η, ἢ τὸ α, ἔχει· οἷον, βοήσω, δράσω.

§. ρμβ'.

§. ρμβ'. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς. Βοάω, ῶ. βοάεις, ᾷς. βοάει, ᾷ.
Βοάετον, ᾶτον. βοάετον, ᾶτον.
Βοάομεν, ῶμεν. βοάετε, βοᾶτε.
βοάουσι, ῶσι.

Παρατατικός. Ἐβόαον, ων. ἐβόαες, ας. ἐβόαε, α.
Ἐβοάετον, ᾶτον. ἐβοαέτην, άτην.
Ἐβοάομεν, ῶμεν. ἐβοάετε, ᾶτε.
ἐβόαον, ων.

Παρακείμενος. Βεβόηκα, βεβόηκας. βεβόηκε.

Ὑπερσυντ. Ἐβεβοήκειν, ἐβεβοήκεις, ἐβεβοήκει.

Ἀόριστος α'. Ἐβόησα, ἐβόησας. ἐβόησε.

Μέλλων α'. Βοήσω, βοήσεις, βοήσει.

§. ρμγ'. Προστακτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Βόαε, α. βοαέτω, άτω.
Βοάετον, ᾶτον. βοαέτων, άτων.
Βοάεται, ᾶτε. βοαέτωσαν, άτωσαν.

Παρακείμενος. Βεβόηκε, βεβοηκέτω.

Ἀόριστος α'. Βόησον, βοησάτω.

§. ρμδ'. Εὐκτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Βοάοιμι, ῷμι. βοάοις, ῷς. βοάοι, ῷ.
Βοάοιτον, ῷτον. βοαοίτην, ῴτην.
Βοάοιμεν, ῷμεν. βοάοιτε, ῷτε.
βοάοιεν, ῷεν.

Πα-

Παρακείμενος. Βεβοήκοιμι, βεβοήκοις, βεβοήκοι.

Ἀόριστος α'. Βοήσαιμι, βοήσαις, βοήσαι.

Καὶ Αἰολικῶς. Βοήσεια, βοήσειας, βοήσειε.

Μέλλων α'. Βοήσοιμι, βοήσοις, βοήσοι.

§. ρμε'. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Ἐὰν βοάω, ῷ. βοάῃς, ᾷς. βοάῃ, ᾷ.
Ἐὰν βοάητον, ᾶτον. βοάητον, ᾶτον.
Ἐὰν βοάωμεν, ῶμεν. βοάητε, ᾶτε.
βοάωσι, ῶσι.

Παρακείμενος. Ἐὰν βεβοήκω, βεβοήκῃς, βεβοήκῃ.

Ἀόριστος α'. Ἐὰν βοήσω, βοήσῃς, βοήσῃ.

§. ρμς'. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἐνεστώς. Βοάειν, ᾶν.

Παρακείμενος. Βεβοηκέναι.

Ἀόριστος α'. Βοῆσαι.

Μέλλων α'. Βοήσειν.

§. ρμζ'. Μετοχαὶ Ἐνεργητικαί.

Ἐνεστώς. Ὁ βοάων, ῶν. τοῦ βοάοντος, ῶντος.
Ἡ βοάουσα, ῶσα. τῆς βοαούσης, ώσης.
Τὸ βοάων, ῶν. τοῦ βοάοντος, ῶντος.

Παρακείμενος. Ὁ βεβοηκὼς, τοῦ βεβοηκότος.

Ἀόριστος α'. Ὁ βοήσας, τοῦ βοήσαντος.

Μέλλων α'. Ὁ βοήσων, τοῦ βοήσοντος.

§.

§ ρμή. Ὁριστικὰ Παθητικά.

Ἐνεστώς. Βοάομαι, ῶμαι. βοᾶῃ, ᾷ. βοᾶται, ᾶται,
Βοαόμεθον, ώμεθον. βοάεσθον, ᾶσθον. βοάεσθον, ᾶσθον.
Βοαόμεθα, ώμεθα. βοάεσθαι, ᾶσθαι. βοάονται, ῶνται.

Παρατατικός. Ἐβοαόμην, ώμην. ἐβοάου, ῶ. ἐβοάετο, ᾶτο.
Ἐβοαόμεθον, ώμεθον. ἐβοάεσθον, ᾶσθον. ἐβοαέσθην, άσθην.
Ἐβοαόμεθα, ώμεθα. ἐβοάεσθε, ᾶσθε. ἐβοάοντο, ῶντο.

Παρακείμενος. Βεβόημαι, βεβόησαι, βεβόηται.
Μετ' ὀλίγ. Μέλ. Βεβοήσομαι, βεβοήσῃ, βεβοήσεται.
Τ' περσυντελικ. Ἐβεβοήμην, ἐβεβόησο, ἐβεβόητο.
Ἀόριστος ά. Ἐβοήθην, ἐβοήθης, ἐβοήθη.
Μέλλων ά. Βοηθήσομαι. βοηθήσῃ, βοηθήσεται.
Μέσ. Ἀόρ. ά. Ἐβοησάμην, ἐβοήσω, ἐβοήσατο.
Μέσ. Μέλ. ά. Βοήσομαι, βοήσῃ, βοήσεται.

§ ρμή. Προστακτικὰ Παθητικά.

Ἐνεστώς. Βοάου, ῶ. βοάεσθω, άσθω.
Βοάεσθον, ᾶσθον. βοαέσθων, άσθων.
Βοάεσθε, ᾶσθε. βοαέσθωσαν, άσθωσαν.

Παρακείμεν. Βεβόησο, βεβοήσθω.
Ἀόριστος ά. Βοηθητι, βοηθήτω.
Μέσ. Ἀόρ. ά. Βόησαι, βοησάσθω.

§. ρν'.

§. ρν'. Εὐκτικὰ Παθητικά.

Ἐνεστώς. Βοαοίμην, ώμην. βοάοιο, ῷο. βοάοιτο, ῶτο.
Βοαοίμεθον, ώμεθον, βοάοισθον, ῶσθον, βοαοίσθην, ώσθην.
Βοαοίμεθα, ώμεθα. βοάοισθε, ῶσθε. βοάοιντο, ῶντο.

Παρακείμενος. Βεβοήμην, βεβοῆο, βεβοῆτο.
Μετ' ὀλίγ. Μέλ. Βεβοησοίμην, βεβοήσοιο, βεβοήσοιτο.
Ἀόριστος ά. Βοηθείην, βοηθείης, βοηθείη.
Μέλλων ά. Βοηθησοίμην, βοηθήσοιο, βοηθήσοιτο.
Μέσ. Ἀόρ. ά. Βοησαίμην, βοήσαιο, βοήσαιτο.
Μέσ. Μέλ. ά. Βοησοίμην, βοήσοιο, βοήσοιτο.

§. ρνά. Ὑποτακτικὰ Παθητικά.

Ἐνεστώς. Ἐὰν βοάωμαι, ῶμαι. βοᾶῃ, ᾷ. βοᾶηται, ᾶται.
Ἐὰν βοαώμεθον, ώμεθον. βοάησθον, ᾶσθον. βοάησθον, ᾶσθον.
Ἐὰν βοαώμεθα, ώμεθα. βοάησθε, ᾶσθε. βοάωνται, ῶνται.

Παρακείμενος. Ἐὰν βεβοῶμαι, βεβοῇ, βεβοῆται.
Ἀόριστος ά. Ἐὰν βοηθῶ, βοηθῆς, βοηθῇ.
Μέσ. Ἀόρ. ά. Ἐὰν βοήσωμαι. βοήσῃ, βοήσηται.

§. ρνβ'.

ρνβ'. Ἀπαρέμφατα Παθητικά.

Ἐνεσ.	Βοᾶσθαι, ᾶσθαι.
Παρακείμενος.	Βεβοᾶσθαι.
Μετ' ὀλίγ. Μέλ.	Βεβοήσεσθαι.
Ἀόριστος. α'.	Βοηθῆναι.
Μέλλων α'.	Βοηθήσεσθαι.
Μέσος Ἀόρ. α'.	Βοήσασθαι.
Μέσος Μέλ. α'.	Βοήσεσθαι.

§. ρνγ'. Μετοχαὶ Παθητικαί.

Ἐνεσ.	Ὁ βοαόμενος, ώμενος. τοῦ βοαομένου, ωμένου.
	Ἡ βοαομένη, ωμένη. τῆς βοαομένης, ωμένης.
	Τὸ βοαόμενον, ώμενον. τοῦ βοαομένου, ωμένου.
Παρακείμενος.	Ὁ βεβοημένος, ἡ βεβοημένη, τὸ βεβοημένον.
Μετ' ὀλίγ. Μέλ.	Ὁ βεβοησόμενος, ἡ βεβοησομένη, τὸ βεβοησόμενον.
Ἀόριστος α'.	Ὁ βοηθεὶς, ἡ βοηθεῖσα, τὸ βοηθέν.
Μέλλων α'.	Ὁ βοηθησόμενος, ἡ βοηθησομένη, τὸ βοηθησόμενον.
Μέσος Ἀόρ. α'.	Ὁ βοησάμενος, ἡ βοησαμένη, τὸ βοησάμενον.
Μέσ. Μέλ. α'.	Ὁ βοησόμενος, ἡ βοησομένη, τὸ βοησόμενον.

Τρί-

Τρίτη τῶν Περισπωμένων.

§. ρνδ'. Ἡ τρίτη Συζυγία τῶν Περισπωμένων διὰ τοῦ ω προφέρεται οἷον, χρυσόω, ῶ. καὶ ἐν τῇ παραληγούσῃ τοῦ Μέλλοντος τὸ ω, ἔχει· οἷον, χρυσόσω. πλὴν τοῦ ἀρόω, ἀρόσω. ὀμόω, ὀμόσω. βόω, βόσω. ὀνόω, ὀνόσω.

§. ρνε'. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεσ.	Χρυσόω, ῶ. χρυσόοις, οῖς. χρυσόοι, οῖ.
	Χρυσόετον, οῦτον. χρυσόετον, οῦτον.
	Χρυσόομεν, οῦμεν. χρυσόετε, οῦτε. χρυσόουσι, οῦσι.
Παραταt.	Ἐχρύσοον, ουν. ἐχρύσοες, ους. ἐχρύσοε, ου.
	Ἐχρυσόετον, οῦτον. ἐχρυσοέτην, ούτην.
	Ἐχρυσόομεν, οῦμεν. ἐχρυσόετε, οῦτε. ἐχρύσοον, ουν.
Παρακείμ.	Κεχρύσωκα, κεχρύσωκας, κεχρύσωκε.
Τ'περσυντ.	Ἐκεχρυσώκειν, ἐκεχρυσώκεις, ἐκεχρυσώκει.
Ἀόριστος α'.	Ἐχρύσωσα, ἐχρύσωσας, ἐχρύσωσε.
Μέλλων α'.	Χρυσώσω, χρυσώσεις, χρυσώσει.

§. ρνς'. Προστακτικὰ Ἐνεργητικά.

Ἐνεσ.	Χρύσοε, ου. χρυσοέτω, ούτω.
	Χρυσόετον, οῦτον. χρυσοέτων, ούτων.
	Χρυσόετε, οῦτε. χρυσοέτωσαν, ούτωσαν.

Πα-

Παρακειμ. Κεχρύσωκα, κεχρυσωκέτω.
Ἀόριστος ά. Χρύσωσον, χρυσωσάτω.

§ ρνζ. Εὐκτικὰ Ἐνεργητικά.

Ἑνεσώς. Χρυσόοιμι, οῖμι. χρυσόοις, οῖς. χρυσόοι, οῖ.
Χρυσόοιτον, οῖτον. χρυσοοίτην, οίτην.
Χρυσόοιμεν, οῖμεν. χρυσόοιτε, οῖτε. χρυσόοιεν, οῖεν.
Παρακείμ. Κεχρυσώκοιμι, κεχρυσώκοις, κεχρυσώκοι.
Ἀόριστος ά. χρυσώσαιμι, χρυσώσαις, χρυσώσαι.
καὶ Αἰολικ. Χρυσώσειαν, χρυσώσειας, χρυσώσειε.
Μέλλων ά. Χρυσωσοιμι, χρυσώσοις, χρυσώσοι.

§. ρνη. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἑνεσώς. Ἐὰν χρυσόω, ῶ. χρυσόῃς, οῖς. χρυσόῃ, οῖ.
Ἐὰν χρυσόητον, ῶτον. χρυσόητον, ῶτον.
Ἐὰν χρυσόωμεν, χρυσῶμεν. χρυσόητε, ῶτε. χρυσόωσι, σῶσι.
Παρακείμ. Ἐὰν κεχρυσώκω, κῃς, κῃ.
Ἀόριστος ά. Ἐὰν χρυσώσω, χρυσώσῃς, σῃ.

§. ρνθ. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἑνεσώς. Χρυσόειν, οῦν.
Παρακείμεν. Κεχρυσωκέναι.
Ἀόρσος ά. Χρυσῶσαι.
Μέλλων ά. Χρυσώσειν.

§. ρξ.

§. ρξ. Μετοχαὶ Ἐνεργητικαί.

Ἑνεσώς. Ὁ χρυσόων, ῶν. τοῦ χρυσώοντος, οῦντος.
Ἡ χρυσόουσα, οῦσα. τῆς χρυσοούσης, ούσης.
Τὸ χρυσόον, οῦν. τοῦ χρυσόοντος, οῦντος.
Παρακείμ. Ὁ κεχρυσωκώς, ἡ κεχρυσωκυῖα, τὸ κεχρυσωκός.
Ἀόριστος ά. Ὁ χρυσώσας, τοῦ χρυσώσαντος.
Ἡ χρυσώσασα, τῆς χρυσωσάσης.
Τὸ χρυσῶσαν, τοῦ χρυσώσαντος.
Μέλλων. ά. Ὁ χρυσώσων, τοῦ χρυσώσοντος.
Ἡ χρυσώσουσα, τῆς χρυσωσούσης.
Τὸ χρυσῶσον, τοῦ χρυσώσοντος.

§. ρξά. Ὁριστικὰ Παθητικά.

Ἑνεσώς. Χρυσόομαι, οῦμαι. χρυσόῃ, οῖ. χρυσόεται, οῦται.
χρυσοόμεθον, ούμεθον. χρυσόεσθον, οῦσθον. χρυσόεσθον, οῦσθον.
Χρυσοόμεθα, ούμεθα. χρυσόεσθε, οῦσθε. χρυσόονται, οῦνται.
Παρατατικὸ. Ἐχρυσοόμην, ούμην. ἐχρυσόου, οῦ. ἐχρυσόετο, οῦτο.
Ἐχρυσοόμεθον, ούμεθον, ἐχρυσόεσθον, οῦσθον. ἐχρυσόεσθην, ούσθην.

Ἐχρυ-

Ε᾽χρυσούμεθα, ούμεθα. ἐχρυσόεσθε, οῦσθε. ἐχρυσόοντο, οῦντο.

Παρακείμ. Κεχρύσωμαι, κεχρύσωσαι, κεχρύσωται.

Μετ᾽ ὀλίγ. Μέλ. Κεχρυσώσομαι, κεχρυσώσῃ, κεχρυσώσεται.

Τ᾽περσυντ. Ἐκεχρυσώμην, ἐκεχρύσωσο, ἐκεχρύσωτο.

Α᾽όριστος α᾽. Ἐχρυσώθην, θης, θη.

Μέλλων α᾽. Χρυσωθήσομαι, χρυσωθήσῃ, χρυσωθήσεται.

Μέσ. Ἀόρ. α᾽. Ἐχρυσωσάμην, ἐχρυσώσω, ἐχρυσώσατο.

Μέσ. Μέλ. α᾽. Χρυσώσομαι, σῃ, σεται.

§. ρξβ᾽. Προστακτικὰ Παθητικά.

Ε᾽νεστώς. Χρυσόου, οῦ. χρυσοέσθω, ούσθω.
Χρυσόεσθον, οῦσθον. χρυσοέσθων. ούσθων.
Χρυσόεσθε, οῦσθε. χρυσοέσθωσαν. ούσθωσαν.

Παρακείμενος. Κεχρύσωσο, κεχρυσώσθω.

Α᾽όριστος α᾽. Χρυσώθητι, χρυσωθήτω.

Μέσ. Ἀόρ. α᾽. Χρύσωσαι, χρυσωσ[illegible]σθω.

§. ρξγ᾽. Εὐκτικὰ Παθητικά.

Ε᾽νεστώς. Χρυσοοίμην, οίμην. χρυσ[illegible]ο, οῖο. χρυσόοιτο, οῖτο.

Χρυ-

Χρυσοοίμεθον, οίμεθον. χρυσόοισθον, οῖσθον. χρυσοοίσθην, οίσθην.
Χρυσοοίμεθα, οίμεθα, χρυσόοισθε, οῖσθε. χρυσόοιντο, οῖντο.

Παρακείμεν. Κεχρυσωμην, σῷο, σῶτο.

Μετ᾽ ὀλίγ. Μέλ. Κεχρυσωσοίμην, κεχρυσώσοιο, κεχρυσώσοιτο.

Α᾽όριστος α᾽. Χρυσωθείην, χρυσωθείης, χρυσωθείη.

Μέλλων α᾽. Χρυσωθησοίμην, χρυσοθήσοιο, χρυσωθήσοιτο.

Μέσ. Α᾽όρ. α᾽. Χρυσωσαίμην, σώσαιο, σώσαιτο.

Μέσ. Μέλ. α᾽. Χρυσωσοίμην, σώσοιο, σώσοιτο.

§. ρξδ᾽. Ὑποτακτικὰ Παθητικά.

Ε᾽νεστώς. Ἐὰν χρυσάομαι, ῶμαι. χρυσόῃ, οῖ. χρυσόηται, ῶται.
Ἐὰν χρυσοώμεθον, ώμεθον. χρυσόησθον, ῶσθον. χρυσώησθον, ῶσθον.
Ἐὰν χρυσοώμεθα, ώμεθα. χρυσόησθε, ῶσθε. χρυσόωνται, ῶνται.

Παρακείμ. Ἐὰν κεχρυσῶμαι, κεχρυσῷ, κεχρυσῶται.

Α᾽όριστος α᾽. Ἐὰν χρυσωθῶ, χρυσωθῆς, χρυσωθῇ.

Μέσ. Ἀόρ. α᾽. Ἐὰν χρυσώσωμαι, χρυσώσῃ, χρυσώσηται.

§. ρξε᾽. Ἀπαρέμφατα Παθητικά.

Ε᾽νεστώς. Χρυσόεσθαι, οῦσθαι

Πα-

Παρακείμενος.	Κεχρυσῶσθαι.
Μετ᾽ ὀλίγ. Μέλ.	Κεχρυσώσεσθαι.
Ἀόριστος ά.	Χρυσωθῆναι.
Μέλλων ά.	Χρυσωθήσεσθαι.
Μέσος Ἀόριστος ά.	Χρυσώσασθαι.
Μέσ. Μέλ. ά.	Χρυσώσεσθαι.

§. ρξ΄. Μετοχαὶ Παθητικαί.

Ἐνεστώς. Ὁ χρυσούμενος, ούμενος. τοῦ χρυσουμένου, ουμένου.
Ἡ χρυσουμένη, ουμένη. τῆς χρυσουμένης, ουμένης.
Τὸ χρυσούμενον, ούμενον. τοῦ χρυσουμένου, ουμένου.

Παρακείμενος. Ὁ κεχρυσωμένος, ἡ κεχρυσωμένη, τὸ κεχρυσωμένον.

Μετ᾽ ὀλ. Μέλ. Ὁ κεχρυσωσόμενος, ἡ κεχρυσοσωμένη, τὸ κεχρυσωσόμενον.

Ἀόριστος ά. Ὁ χρυσωθείς, ἡ χρυσωθεῖσα, τὸ χρυσωθέν.

Μέλλων ά. Ὁ χρυσωθησόμενος, ἡ χρυσωθησομένη, τὸ χρυσωθησόμενον.

Μέσ. Ἀόρ. ά. Ὁ χρυσωσάμενος, ἡ χρυσωσαμένη, τὸ χρυσωσάμενον.

Μέσ. Μέλ. ά. Ὁ χρυσωσόμενος, ἡ χρυσωσομένη, τὸ χρυσωσόμενον.

§. ρξζ΄. Δεῖ δὲ εἰδέναι ὅτι σπανίως εὑρίσκονται μέσοι παρακείμενοι, καὶ δεύτεροι Ἀόριστοι ἐπὶ τῆς ά. καὶ β΄. Συζυγίας τῶν Περισπωμένων· οἷον, κτυπῶ, ἔκτυπα, ἔκτυπον· δουπῶ, δέδουπα, ἔδουπον. μυκῶ, μέμυκα, ἔμυκον. χραισμῶ, ἔχραισμον. ὀλισθῶ, ὤλισθον· ἁμαρτῶ, ἥμαρτον. βλαξῶ, ἔβλαξον. ἀλαλκῶ, ἤλαλκον. ἐπὶ δὲ τῆς τρίτης οὐδαμῶς.

ΚΕΦ. ΙΒ΄.

Περὶ τῶν εἰς μι. Ῥημάτων.

§. ρξη΄. Εἰσὶ δὲ ἔτι καὶ τέσσαρες Συζυγίαι τῶν εἰς μι, τρεῖς ἀπὸ τῶν Περισπωμένων γινόμεναι καὶ μία ἀπὸ τῶν εἰς υω Βαρυτόνων!

Πρώτη τῶν εἰς μι.

§. ρξθ΄. Ἡ πρώτη Συζυγία τῶν εἰς μι, ἀπὸ τῆς πρώτης τῶν περισπωμένων γίνεται· οἷον, τιθέω, ῶ, τίθημι. ἔχει δὲ τὸ η, ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ. τὸ ε δὲ, ἐν τῇ τοῦ παθητικοῦ. οἷον, τίθημι, τίθεμαι.

§. ρο΄. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς. Τίθημι, τίθης, τίθησι.
Τίθετον, τίθετον.
Τίθεμεν, τίθετε, τιθέασι, καὶ Ἰωνικῶς τιθέασι.

Παρατατ. Ἐτίθην, ἐτίθης, ἐτίθη.
Ἐτίθετον, ἐτιθέτην.

Ἐτίθεμεν, ἐτίθετε, ἐτίθεσαν.
Παρακείμ. Τέθεικα, τέθεικας, τέθεικε.
Ὑπερσυντελ. Ἐτεθείκειν, ἐτεθείκεις, ἐτεθείκει.
Γράφονται δὲ διὰ τῆς ει διφθόγγου, ἔθει Βιωτικῶς.
Ἀόριστος α΄. Ἔθηκα, ἔθηκας, ἔθηκε.
Ἀόριστος β΄. Ἔθην, ἔθης, ἔθη.
Ἔθετον, ἐθέτην.
Ἔθεμεν, ἔθετε, ἔθεσαν.
Μέλλων α΄. Θήσω, θήσεις, θήσει.

§. ροα΄. Προστακτικὰ Ἐνεργητικά.

Ἑνεσῶς. Τίθετι, τιθέτω.
Τίθετον, τιθέτων.
Τίθετε, τιθετωσαν.
Παρακείμ. Τέθεικε, τεθεικέτω.
Ἀόρις. β΄. Θέτι, ἢ θὲς, θέτω.

§ ροβ΄. Εὐκτικὰ Ἐνεργητικά.

Ἑνεσῶς. Τιθείην, τιθείης, τιθείη.
Τιθείητον, τιθειήτην.
Τιθείημεν, τιθείητε, τιθείησαν, καὶ τιθεῖεν.
Παρακείμ. Τεθείκοιμι, τεθείκοις, τεθείκοι.
Ἀόριστος β΄. Θείην, θείης, θείη.
Μέλλων α΄. Θήσοιμι, θήσοις, θήσοι.

§. ρογ΄. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἑνεσῶς. Ἐὰν τιθῶ, τιθῇς, τιθῇ.

Ἐὰν

Ἐὰν τιθῆτον, τιθῆτον.
Ἐὰν τιθῶμεν, τιθῆτε, τιθῶσι.
Παρακείμ. Ἐὰν τεθείκω, τεθείκῃς, τεθείκῃ.
Ἀόριστος β΄. Ἐὰν θῶ, θῇς, θῇ.

§. ροδ΄. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἑνεσῶς. Τιθέναι.
Παρακείμενος. Τεθεικέναι.
Ἀόριστος β΄. Θεῖναι.
Μέλλων α΄. Θήσειν.

§. ροε΄. Μετοχαὶ Ἐνεργητικαὶ.

Ἑνεσῶς. Ὁ τιθεὶς, τοῦ τιθέντος.
Ἡ τιθεῖσα, τῆς τιθείσης.
Τὸ τιθὲν, τοῦ τιθέντος.
Παρακείμεν. Ὁ τεθεικὼς, ἡ τεθεικυῖα, τὸ τεθεικός.
Ἀόριστος β΄. Ὁ θεὶς, ἡ θεῖσα, τὸ θέν.
Μέλλων α΄. Ὁ θήσων, ἡ θήσουσα, τὸ θῆσον.

§. ροϛ΄. Ὁριστικὰ Παθητικά.

Ἑνεσῶς. Τίθεμαι, τίθεσαι, τίθεται.
Τιθέμεθον, τίθεσθον, τίθεσθον.
Τιθέμεθα, τίθεσθε, τίθενται.
Παραταπικός. Ἐτιθέμην, ἐτίθεσο, καὶ ἐτίθου, ἐτίθετο
Ἐτιθέμεθον, ἐτίθεσθον, ἐτιθέσθην.
Ἐτιθέμεθα, ἐτίθεσθε, ἐτίθεντο.
Παρακείμ. Τέθειμαι, τέθεισαι, τέθειται.

Μετ'

Μετ' ὀλίγ. Μέλ. Τεθείσομαι, τεθείσῃ, τεθείσεται.
Τ' περσυντελ. Ἐτεθείμην, ἐτέθεισο, ἐτέθειτο.
Α'όριστος ά. Ἐτέθην, ἐτέθης, ἐτέθη.
Μέλλων ά. Τεθήσομαι, τεθήσῃ, τεθήσεται.
Μέσ. Α'όρ. β'. Ἔθεμην, ἔθεσο, καὶ ἔθου ἔθετο.
Μέσ. Μέλ. ά. Θήσομαι, θήσῃ, θήσεται.

§. ροζ. Προστακτικὰ Παθητικά.

Ἐνεστώς. Τίθεσο, καὶ τίθου, τιθέσθω.
Τίθεσθον, τιθέσθων.
Τίθεσθε, τιθέσθωσαν.
Παρακείμενος. Τέθεισο, τεθείσθω.
Α'όριστος ά. Τέθητι, τεθήτω.
Μέσ. Α'ορ. β'. Θέσο, καὶ θοῦ, θέσθω.

§. ροη'. Εὐκτικὰ Παθητικά.

Ἐνεστώς. Τιθείμην, τίθειο, τίθειτο.
Τιθείμεθον, τίθεισθον, τιθείσθην.
Τιθείμεθα, τίθεισθε, τίθειντο.
Παρακείμενος. Τεθείμην, τεθεῖο, τεθεῖτο.
Μετ' ὀλ. Μέλ. Τεθεισοίμην, τεθείσοιο, τεθείσοιτο.
Α'όριστος ά. Τεθείην, τεθείης, τεθείη.
Μέλλων ά. Τεθεισοίμην, τεθείσοιο, τεθείσοιτο
Μέσ. Α'ορ. β'. Θείμην, θεῖο, θεῖτο.
Μέσ. Μέλ. ά. Θησοίμην, θήσοιο, θήσοιτο.

§. ροθ. Ὑποτακτικὰ Παθητικά.

Ἐνεστώς. Ἐὰν τιθῶμαι, τιθῇ, τιθῆται.
Ἐὰν τιθώμεθον, τιθῆσθον, τιθῆσθον.
Ἐὰν τιθώμεθα, τιθῆσθε, τιθῶνται.
Παρακείμεν. Ἐὰν τεθῶμαι, τεθῇ, τεθῆται.
Α'όριστος ά. Ἐὰν τεθῶ, τεθῆς, τεθῇ,
Μέσ. Α'ορ β'. Ἐὰν θῶμαι, θῇ, θῆται.

§. ρπ'. Ἀπαρέμφατα παθητικά.

Ἐνεστώς. Τίθεσθαι.
Παρακείμενος. Τεθεῖσθαι.
Μετ' ὀλίγ. Μέλ. Τεθείσεσθαι.
Α'όριστος ά. Τεθῆναι.
Μέλλων ά. Τεθήσεσθαι.
Μέσος Α'όριστος β'. Θέσθαι.
Μέσος Μέλλων ά. Θήσεσθαι.

§. ρπά. Μετοχαὶ Παθητικαί.

Ἐνεστώς. Ὁ τιθέμενος, ἡ τιθεμένη, τὸ τιθέμενον.
Παρακείμενος. Ὁ τεθειμένος, ἡ τεθειμένη, τὸ τεθειμένον.
Μετ' ὀλ. Μέλ. Ὁ τεθεισόμενος, ἡ τεθεισομένη, τὸ τεθεισόμενον.
Α'όριστος ά. Ὁ τεθείς, ἡ τεθεῖσα. τὸ τεθέν.
Μέλλων ά. Ὁ τεθησόμενος, ἡ τεθησομένη, τὸ τεθησόμενον.
Μέσ. Α'ορ. β'. Ὁ θέμενος, ἡ θεμένη, τὸ θέμενον.
Μέσ. Μέλ. ά. Ὁ θησόμενος, ἡ θησομένη, τὸ θησόμενον.

Δευ-

Δευτέρα τῶν εἰς μι.

§. ρπβ'. Η δευτέρα Συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς δευτέρας τῶν Περισπωμένων· οἷον, ἰσάω, ῶ, ἵσημι, ἔχει δὲ τὸ η, ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ· τὸ α δὲ, ἐν τῇ τοῦ παθητικοῦ· οἷον, ἵσημι, ἵσαμαι.

§. ρπγ'. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεσώς.	Ἵσημι, ἵσης, ἵσησι.
	Ἵστον, ἵστον.
	Ἵσαμεν, ἵστε, ἵστασι.
Παρατατικός.	Ἵσην, ἵσης, ἵση.
	Ἵστον, ἱστάτην.
	Ἵσαμεν, ἵστε, ἵστασαν.
Παρακείμενος.	Ἕστακα, ἕστακας, ἕστακε.
	καὶ ἕστηκα, ἕστηκας, ἕστηκε.
Ὑπερσυντελ.	Ἑστάκειν, ἑστάκεις, ἑστάκει.
	τὸ δὲ εἱστήκειν ἀπὸ τοῦ ἑστήκω.
Ἀόριστος α'.	Ἔστησα, ἔστησας, ἔστησε.
Ἀόριστος β'.	Ἔστην, ἔστης, ἔστη.
	Ἔστητον, ἐστήτην.
	Ἔστημεν, ἔστητε, Ἔστησαν.
Μέλλων Α'.	Στήσω, στήσεις, στήσει.

§. ρπδ'. Προστακτικὰ Ἐνεργητικά.

Ἐνεσώς.	Ἵσαθι, ἱστάτω.
	Ἵστον, ἱστάτων.
	Ἵστατε, ἱστάτωσαν.
Παρακείμενος.	Ἕστακε, ἑστακέτω.
Ἀόριστος α'.	Στῆσον, στησάτω.
Ἀόριστος β'.	Στῆθι, στήτω.

§. ρπε'. Εὐκτικὰ Ἐνεργητικά.

Ἐνεσώς.	Ἱσαίην, ἱσαίης, ἱσαίη.
	Ἱσαίητον, ἱσαιήτην.
	Ἱσαίημεν, ἱσαίητε, ἱσαίησαν, καὶ ἱσαῖεν.
Παρακείμενος.	Ἑστάκοιμι, ἑστάκοις, ἑστάκοι.
Ἀόριστος α'.	Στήσαιμι, στήσαις, στήσαι.
Αἰολικῶς.	Στήσειας, στήσειας, στήσειε.
Ἀόριστος β'.	Σταίην, σταίης, σταίη.
Μέλλων α'.	Στήσοιμι, στήσοις, στήσοι.

§. ρπς'. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἐνεσώς.	Ἐὰν ἰσῶ, ἰσᾷς, ἰσᾷ.
	Ἐὰν ἰσᾶτον, ἰσᾶτον.
	Ἐὰν ἰσῶμεν, ἰσᾶτε, ἰσῶσι.
Παρακείμενος.	Ἐὰν ἑστάκω, ἑστάκῃς, ἑστάκῃ.
Ἀόριστος α'.	Ἐὰν στήσω, στήσης, στήσῃ.
Ἀόριστος β'.	Ἐὰν σταῶ, σταῖς, σταῖ.

§. ρπζ'. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἐνεσώς.	Ἱσάναι.
Παρακείμενος.	Ἑστακέναι.
Ἀόριστος α'.	Στῆσαι.

Ἀόριστος β΄.	Στῆναι.
Μέλλων ά.	Στήσειν.

§. ρπη΄. Μετοχαὶ Ἐνεργητικαί.

Ἑνεστώς.	Ὁ ἱσὰς, τοῦ ἱσάντος.
	Ἡ ἱσᾶσα, τῆς ἱσάσης.
	Τὸ ἱσὰν, τοῦ ἱσάντος.
Παρακείμενος.	Ὁ ἑσακὼς, ἡ ἑσακυῖα, τὸ ἑσακός.
Ἀόριστος ά.	Ὁ σήσας, ἡ σήσασα, τό σῆσαν.
Ἀόριστος β΄.	Ὁ σὰς, ἡ σᾶσα, τὸ σάν.
Μέλλων ά.	Ὁ σήσων, ἡ σήσουσα, τὸ σῆσον.

§. ρπθ΄. Ὁριστικὰ Παθητικά.

Ἑνεστώς.	Ἵσαμαι, ἵσασαι, ἵσαται.
	Ἰσάμεθον, ἵσασθον, ἵσασθον.
	Ἰσάμεθα, ἵσασθαι, ἵσανται.
Παρατατικός.	Ἰσάμην, ἵσασο, καὶ ἵσω, ἵσατο.
	Ἰσάμεθον, ἵσασθον. ἰσάσθην.
	Ἰσάμεθα, ἵσασθε. ἵσαντο.
Παρακείμενος.	Ἕσαμαι, ἕσασαι, ἕσαται.
Μετ᾽ ολίγ. Μέλ.	Ἐσάσομαι, ἐσάσῃ, ἐσάσεται.
Ὑπερσυντελ.	Ἐσάμην, ἕσασο, ἕσατο.
Ἀόριστος ά.	Ἐσάθην, ἐσάθης, ἐσάθη.
Μέλλων ά.	Σταθήσομαι, σταθήσῃ, σταθήσεται.
Μέσ. Ἀόρ. ά.	Ἐσησάμην, ἐσήσω, ἐσήσατο.
Μέσ. Μέλ. ά.	Στήσομαι, σήσῃ, σήσεται.

§. ρξ΄.

§. ρξ΄. Προστακτικὰ Παθητικά.

Ἑνεστώς.	Ἴσασο, καὶ ἵσω, ἰσάσθω.
	ἵσασθον, ἰσάσθων.
	ἵσασθε, ἰσάσθωσαν.
Παρακείμ.	Ἕσασο, ἑσάσθω.
Ἀόριστος ά.	Στάθητι, σαθήτω.
Μέσ. Ἀόρ. ά.	Στῆσαι, σησάσθω.

§. ρξά. Εὐκτικὰ Παθητικά.

Ἑνεστώς.	Ἰσαίμην, ἵσαιο, ἵσαιτο.
	ἰσαίμεθον, ἵσαισθον, ἰσαίσθην.
	ἰσαίμεθα, ἵσαισθε, ἵσαιντο.
Παρακείμ.	Ἑσαίμην, ἑσαίο, ἑσαῖτο.
Μετ᾽ ὀλ. Μέλ.	Ἐσασοίμην, ἐσάσοιο, ἐσάσοιτο.
Ἀόριστος ά.	Σταθείην, σαθείης, σαθείη.
Μέλλων ά.	Σταθησοίμην. σαθήσοιο, σαθήσοιτο
Μέσ. Ἀόρ. ά.	Στησαίμην. σήσαιο, σῆσαιτο.
Μέσ. Μέλ. ά.	Στησοίμην, σήσοιο, σήσοιτο.

§. ρξβ΄. Ὑποτακτικὰ Παθητικά.

Ἑνεστώς.	Ἐὰν ἱσῶμαι, ἱσᾷ, ἱσᾶται.
	Ἐὰν ἱσώμεθον, ἱσᾶσθον, ἱσᾶσθον.
	Ἐὰν ἱσώμεθα, ἱσᾶσθε, ἱσῶνται.
Παρακείμενος.	Ἐὰν ἑσῶμαι, ἑσᾷ, ἑσᾶται.
Ἀόριστος ά.	Ἐὰν σαθῶ, σαθῇς, σαθῇ.
Μέσ. Ἀόρ. ά.	Ἐὰν σήσωμαι, σήσῃ, σήσηται.

§. ρξγ΄.

§. ριγ. Ἀπαρέμφατα Παθητικά.

Ἐνεστώς.	Ἴσασθαι.
Παρακείμενος.	Ἐσᾶσθαι.
Μετ' ὀλίγ. Μέλ.	Ἐσάσεσθαι.
Ἀόριστος α'.	Σταθῆναι.
Μέλλων α'.	Σταθήσεσθαι.
Μέσ. Ἀόρ. α'.	Στήσασθαι.
Μέσ. Μέλλων α'.	Στήσεσθαι.

§. ριδ'. Μετοχαὶ Παθητικαί.

Ἐνεστώς.	Ὁ ἱσάμενος, ἡ ἱσαμένη, τὸ ἱσάμενον.
Παρακείμ.	Ὁ ἑσαμένος, ἡ ἑσαμένη, τὸ ἑσαμένον
Μετ' ὀλίγ. Μέλ.	Ὁ ἑσασόμενος, ἡ ἑσασομένη, τὸ ἑσασόμενον.
Ἀόριστος α'.	Ὁ σαθεὶς, ἡ σαθεῖσα, τὸ σαθέν.
Μέλλων α'.	Ὁ σαθησόμενος, ἡ σαθησομένη, τὸ σαθησόμενον.
Μέσ. Ἀόρ. α'.	Ὁ σησάμενος, ἡ σησαμένη, τὸ σησάμενον.
Μέσ. Μέλ. α'.	Ὁ σησόμενος, ομενη, ομενον.

Τρίτη τῶν εἰς μι.

§. ριέ. Ἡ τρίτη Συζυγία τῶν εἰς μι, γίνεται ἀπὸ τῆς τρίτης τῶν Περισπωμένων· οἷον, διδόω, ῶ, δίδωμι. ἔχει δὲ τὸ ω μέγα, ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, τὸ ο μικρὸν δὲ, ἐν τῇ τοῦ παθητικοῦ· οἷον, δίδωμι, δίδομαι.

§. ριϛ.

§. ριϛ. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς.	Δίδωμι, δίδως, δίδωσι.
	Δίδοτον, διδότον.
	Δίδομεν, δίδοτε, διδοῦσι, καὶ Ἰωνικῶς διδάσι.
Παρατατικ.	Ἐδίδων, ἐδίδως, ἐδίδω.
	Ἐδίδοτον, ἐδιδότην.
	Ἐδίδομεν. ἐδίδοτε, ἐδίδοσαν.
Παρακείμ.	Δέδωκα. δέδωκας, δέδωκε.
Ἀόριστος β'.	Ἔδων, ἔδως, ἔδω.
	Ἔδοτον, ἐδότην.
	Ἔδομεν, ἔδοτε, ἔδοσαν.
Μέλλων α'.	Δώσω, δώσεις, δώσει.

§. ριζ'. Προστακτικὰ Ἐνεργητικά.

Ἐνεστώς.	Δίδοθι, διδότω,
	Δίδοτον, διδότων.
	Δίδοτε, διδότωσαν.
Παρακείμ.	Δέδωκε, δεδωκέτω.
Ἀόριστος β'.	Δόθι, ἢ δὸς, δότω.

§. ριη'. Εὐκτικὰ Ἐνεργητικά.

Ἐνεστώς.	Διδοίην, διδοίης, διδοίη.
	Διδοίητον, διδοιήτην.
	Διδοίημεν, διδοίητε, διδοίησαν, καὶ διδοῖεν.
Παρακείμ.	Δεδώκοιμι, δεδώκοις, δεδώκοι.

Ἀόρ.

Α᾽όριστος β᾽. Δοίην, δοίης, δοίη.
Μέλλων ά. δώσοιμι, δώσοις, δώσοι.

§. ρυβ᾽. Ὑποτακτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Ἐὰν διδῶ, διδῷς, διδῷ.
Ἐὰν διδῶτον, διδῶτον.
Ἐὰν διδῶμεν, διδῶτε, διδῶσι.
Παρακείμενος. Ἐὰν δεδώκω, δεδώκῃς, δεδώκῃ.
Α᾽όριστος β᾽. Ἐὰν δῶ, δῷς, δῷ.

§. σ᾽. Ἀπαρέμφατα Ἐνεργητικά.

Ἐνεστώς. Διδόναι,
Παρακείμενος. Δεδωκέναι.
Α᾽όριστος β᾽. Δοῦναι.
Μέλλων ά. Δώσειν.

§. σά. Μετοχαὶ Ἐνεργητικαί.

Ἐνεστώς. Ὁ διδούς, ἡ διδοῦσα, τὸ διδόν.
Παρακείμ. Ὁ δεδωκώς, ἡ δεδωκυῖα, τὸ δεδωκός.
Α᾽όριστος β᾽. Ὁ δούς, ἡ δοῦσα, τὸ δόν.
Μέλλων ά. Ὁ δώσων, ἡ δώσουσα, τὸ δῶσον.

§. σβ᾽. Ὁριστικὰ Παθητικά.

Ἐνεστώς. Δίδομαι, δίδοσαι, καὶ δίδου δίδοται.
Διδόμεθον, δίδοσθον, δίδοσθον.
Διδόμεθα, δίδοσθε, δίδονται.
Παρατατ. Ἐδιδόμην, ἐδίδοσο, καὶ ἐδίδου, ἐδίδοτο.

Ἐδιδόμεθον, ἐδίδοσθον, ἐδιδόσθην
Ἐδιδόμεθα, ἐδίδοσθε, ἐδίδοντο.
Παρακείμ. Δέδομαι, δέδοσαι, δέδοται.
Μετ᾽ὀλ. Μέλ. Δεδόσομαι, δεδόσῃ, δεδόσεται.
Ὑπερσυντ. Ἐδεδόμην, ἐδέδοσο, ἐδέδοτο.
Α᾽όριστος ά. Ἐδόθην, ἐδόθης, ἐδόθη.
Μέλλων ά. Δοθήσομαι, δοθήσῃ, δοθήσεται.
Μέσ. Α᾽όρ. β᾽. Ἐδόμην, ἔδοσο, καὶ ἔδου, ἔδοτο.
Μέσ. Μέλ. ά. Δώσομαι, δώσῃ, δώσεται.

§. σγ᾽. Προστακτικὰ Παθητικά.

Ἐνεστώς. Δίδοσο. καὶ δίδου, διδόσθω.
Δίδοσθον, διδόσθων.
Δίδοσθε, διδόσθωσαν.
Παρακείμ. Δέδοσο, δεδόσθω.
Α᾽όριστος ά. Δόθητι, δοθήτω.
Μέσ. Α᾽όρ. β᾽. Δόσο, καὶ δοῦ, δόσθω.

§. σδ᾽. Εὐκτικὰ Παθητικά.

Ἐνεστώς. Διδοίμην, δίδοιο, δίδοιτο.
Διδοίμεθον, δίδοισθον, διδοίσθην.
Διδοίμεθα, δίδοισθε, δίδοιντο.
Παρακείμ. Δεδοίμην, δεδοῖο, δεδοῖτο.
Μετ᾽ὀλ. Μέλ. Δεδοσοίμην, δεδόσοιο, δεδόσοιτο.
Α᾽όριστος ά. Δοθείην, δοθείης, δοθείη.
Μέλλων ά. Δοθησοίμην, δοθήσοιο, δοθήσοιτο.
Μέσ. Α᾽όρ. β᾽. Δοίμην, δοῖο, δοῖτο.
Μέσ. Μέλ. ά. Δωσοίμην, δώσοιο, δώσοιτο.

§. σέ

§. σέ. Ὑποτακτικὰ Παθητικά.

Ἐνεστώς. Ἐὰν διδῶμαι, διδῷ, διδῶται.
Ἐὰν διδώμεθον, διδῶσθον, διδῶσθον.
Ἐὰν διδώμεθα, διδῶσθαι, διδῶνται.
Παρακείμ. Ἐὰν δεδῶμαι, δεδῷ, δεδῶται.
Ἀόριστος ά. Ἐὰν δοθῶ, δοθῇς, δοθῇ.
Μέσ. Ἀόρ. β΄. Ἐὰν δῶμαι, δῷ, δῶται.

§. σς. Ἀπαρέμφατα Παθητικά.

Ἐνεστώς. Δίδοσθαι.
Παρακείμενος. Δεδόσθαι.
Μετ' ὀλίγ. Μέλ. Δεδόσεσθαι.
Ἀόριστος ά. Δοθῆναι.
Μέλλων ά. Δοθήσεσθαι.
Μέσος Ἀόρ. β΄. Δόσθαι.
Μέσ. Μέλ. ά. Δώσεσθαι.

§. σζ. Μετοχαὶ Παθητικαί.

Ἐνεστώς. Ὁ διδόμενος, ἡ διδομένη, τὸ διδόμενον.
Παρακείμ. Ὁ δεδομένος, ἡ δεδομένη, τὸ δεδομένον.
Μετ' ὀλ. Μέλ. Ὁ δεδοσόμενος, ἡ δεδοσομένη, τὸ δεδοσόμενον.
Ἀόριστος ά. Ὁ δοθεὶς, ἡ δοθεῖσα, τὸ δοθέν.
Μέλλων ά. Ὁ δοθησόμενος, ἡ δοθησομένη, τὸ δοθησόμενον.

Μέσ.

Μέσ. Ἀόρ. β΄. Ὁ δόμενος, ἡ δομένη, τὸ δόμενον.
Μέσ. Μέλ. ά. Ὁ δωσόμενος, ἡ δωσομένη, τὸ δωσομενον.

Τετάρτη τῶν εἰς μι.

§. ση΄. Ἡ τετάρτη Συζυγία τῶν εἰς μι. γίνεται ἀπὸ τῆς ἕκτης Συζυγίας τῶν βαρυτόνων Ῥημάτων εἰς υω ληγόντων· οἷον, ζευγνύω, ζεύγνυμι. ἔχει δὲ τὸ υ, ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, καὶ παθητικοῦ· οἷον, ζεύγνυμι, ζεύγνυμαι.

§. σθ΄. Ὁριστικὰ Παθητικά.

Ἐνεστώς. Ζεύγνυμι, ζεύγνυς, ζεύγνυσι.
Ζεύγνυτον, ζεύγνυτον.
Ζεύγνυμεν, ζεύγνυτε, ζεύγνῦσι, καὶ Ἰωνικῶς, ζευγνύασι.
Παρατατ. Ἐζεύγνυν, ἐζεύγνυς, ἐζεύγνυ.
Ἐζεύγνυτον, Ἐζευγνύτην.
Ἐζεύγνυμεν, ἐζεύγνυτε, ἐζεύγνυσαν.

Οἱ δὲ ἄλλοι χρόνοι ἐξέλιπον· τὰ γὰρ τῆς τετάρτης μέχρι παρατατικοῦ κλίνοντα.

§. σί. Προσακτικόν. Ζεύγνυ, ζευγνύτω.
Ἀπαρέμφατα. Ζευγνῦναι.
Μετοχή. Ὁ ζευγνὺς, ἡ ζευγνῦσα, τὸ ζευγνὺν.

§. σια΄. Ὁριστικὰ Παθητικά.

Ἐνεστώς. Ζεύγνυμαι, ζεύγνυσαι· ζεύγνυται.

Ζευ.

Ζευγνύμεθον. ζεύγνυσθον, ζεύγνυσθον.
Ζευγνύμεθα, ζεύγνυσθε, ζεύγνυνται.

Παρατατ. Ἐζευγύμην, ἐζεύγνυσο, ἐζεύγνυτο.
Ἐζευγνύμεθον, ἐζεύγνυσθον, ἐζευγνύσθην.
Ἐζευγνύμεθα, ἐζεύγνυσθε, ἐζεύγνυντο.

§. σιβ'. Προστακτικόν.

Ἐνεσῶς. Ζεύγνυσο, ζεγνύσθω.
Ζεύγνυσθον, ζευγνύσθων.
Ζεύγνυσθε, ζευγνύσθωσαν.

Ἀπαρέμφατα. Ζεύγνυσθαι.

Μετοχαί. Ὁ ζευγνύμενος, ἡ ζευγνημένη, τὸ ζευγνύμενον.

§. σιγ'. Ὑπαρκτικὸν Ῥῆμα.

Ἐνεσῶς. Εἰμὶ, εἶ, ἐσί.
Ἐσὸν, ἐσόν.
Ἐσμὲν, ἐστὲ, εἰσί.

Παρατατ. καὶ Ἦ, ἦς, ἦ, καὶ ἦν.

Παρακείμ. Ἦτον, ἤτην.
Ἦμεν, ἦτε, ἦσαν.

Ὑπερσ. Ἤμην, ἦσο, ἦτο.

Μέλλων ά. Ἔσομαι, ἔσῃ, ἔσεται, καὶ ἐσαι.
Ἐσόμεθον, ἐσεσθον, ἔσεσθον.
Ἐσόμεθα, ἔσεσθε, ἔσονται.

§. σιδ'.

§. σιδ'. Προστακτικόν.

Ἐνεσῶς. Ἔσο, ἔστω, καὶ ἴσθι, ἤτω.
Ἔστον, ἔστων.
Ἔστε, ἔστωσαν, καὶ ἔστων.

§. σιε. Εὐκτικόν.

Ἐνεσῶς. Εἴην, εἴης, εἴη.
Εἴητον, εἰήτην.
Εἴημεν, εἰητε, εἴησαν, καὶ εἶεν.

Μέλλων ά. Ἐσοίμην, ἔσοιο, ἔσοιτο.
Ἐσοίμεθον, ἔσοισθον, ἐσοίσθην.
Ἐσοίμεθα, ἔσοισθε, ἔσοιντο.

§. σις'. Ὑποτακτικόν.

Ἐνεσῶς. Ἐὰν ὦ, ἦς, ἦ.
Ἐὰν ἦτον, ἦτον.
Ἐὰν ὦμεν, ἦτε, ὦσι.

§. σιζ'. Ἀπαρέμφατα.

Ἐνεσῶς. Εἶναι.

Μέλλων. Ἔσεσθαι.

§. σιη'. Μετοχαί.

Ἐνεσῶς. Ὁ ὤν, τοῦ ὄντος.
Ἡ οὖσα, τῆς οὔσης.
Τὸ ὄν, τοῦ ὄντος.

Μέλλων. Ὁ ἐσόμενος, τοῦ ἐσομένου.
Ἡ ἐσομένη, τῆς ἐσομένης.
Το ἐσόμενον, τοῦ ἐσομένου.

ΚΕΦ. ΙΓ.

Περὶ Ἀντωνυμίας.

§. σιθ'. Ἀντωνυμία δέ, ἡ μὲν Πρωτότυπος, ἡ δὲ, Κτητικὴ, ἡ δὲ, Δεικτικὴ, ἡ δὲ, Ἀναφορικὴ, ἡ δὲ, Σύνθετος, παρέπεται δὲ αὐτῇ τέσσαρα. Γένος, Ἀριθμὸς, Πτῶσις, καὶ Πρόσωπον.

Περὶ Πρωτοτύπων.

§. σκ'. Τοῦ Πρώτου Προσώπου.

Ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμέ.
Νὼ, νῶν.
Ἡμεῖς, ἡμῶν, ἡμῖν, ἡμᾶς.

Τοῦ Δευτέρου Προσώπου.

Σὺ, σοῦ, σοὶ, σέ.
Σφὼ, σφῶν.
Ὑμεῖς, ὑμῶν, ὑμῖν, ὑμᾶς.

Τοῦ Τρίτου Προσώπου.

Ὅς, οὗ, οἷ, ἕ.
Σφε, σφίν.
Σφεῖς, σφῶν, σφίσι, σφᾶς.

Πε-

Περὶ Κτητικῶν.

§. σκα'. Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι ὀκτώ. Ἐμὸς, Σὸς, Ἑὸς, Νωΐτερος, Σφωΐτερος, Ἡμέτερος, Ὑμέτερος, Σφέτερος. Αἱ τριγενῶς κλίνονται. Ἐμὸς, ἐμὴ, ἐμὸν. Σὸς, σὴ, σὸν. Καὶ αἱ μὲν ἀρσενικαὶ, καὶ οὐδέτεραι κατὰ τὴν Τρίτην κλίνονται κλίσιν, αἱ δὲ θηλυκαὶ, κατὰ τὴν Δευτέραν.

Περὶ Δεικτικῶν.

§. σκβ'. Δεικτικαὶ δὲ δύο, οὗτος, ἐκεῖνος. τριγενῶς καὶ αὗται κλινόμεναι οὕτως.
Οὗτος, τούτου, τούτῳ, τοῦτον, ὦ οὗτος.
Τούτω, τούτοιν, ὦ τούτω.
Οὗτοι, τούτων, τούτοις, τούτους, ὦ οὗτοι.
Αὕτη, ταύτης, ταύτῃ, ταύτην, ὦ αὕτη.
Ταύτα, ταύταιν, ὦ ταύτα.
Αὗται, τούτων, ταύταις, ταύτας, ὦ αὗται.
Τοῦτο, τούτου, τούτῳ, τοῦτο, ὦ τοῦτο.
Τούτω, τούτοιν, ὦ τούτω.
Ταῦτα, τούτων, τούτοις, ταῦτα, ὦ ταῦτα.
Ἐκεῖνος, ἐκείνου.
Ἐκείνη, ἐκείνης.
Ἐκεῖνο, ἐκείνου.

Περὶ Ἀναφορικῶν.

§. σκγ'. Ἀναφορικὴ δὲ μία, τριγενῶς λεγομένη, ὅδε.

Αἱ-

Αὐτὸς, αὐτοῦ, αὐτῷ, αὐτόν.
Αὐτὼ, Αὐτοῖν.
Αὐτοὶ, αὐτῶν, αὐτοῖς, αὐτούς.
Αὐτὴ, αὐτῆς, αὐτῇ, αὐτήν.
Αὐτὰ, αὐταῖν.
Αὐταὶ, αὐτῶν, αὐταῖς, αὐτάς.
Αὐτὸ, αὐτοῦ, αὐτῷ αὐτόν.
Αὐτὼ, αὐτοῖν.
Αὐτὰ, αὐτῶν, αὐτοῖς, αὐτά.

Ἴδιον δὲ ταύτης ἡ τριπρόσωπος σημασία. αὐτὸς γὰρ ἀντὶ ἐγὼ· σὺ, ἐκεῖνος.

Περὶ Συνθέτων.

§. σκδ'. Σύνθετοι δὲ τρεῖς Ὀνομαστικὰς οὐκ ἔχουσαι.

Τοῦ Πρώτου Προσώπου.

Ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτόν.
Ἐμαυτῆς, ἐμαυτῇ, ἐμαυτήν.
Ἐμαυτοῦ, ἐμαυτῷ, ἐμαυτό.

Τοῦ Δευτέρου προσώπου.

Σαυτοῦ, σαυτῷ, σαυτόν.
Σαυτῆς, σαυτῇ, σαυτήν.
Σαυτοῦ, σαυτῷ, σαυτό.

Καὶ αἱ μὲν τοῦ πρώτου, καὶ Δευτέρου προσώπου, μέχρι τούτου μόνον κλίνονται· αἱ δὲ τοῦ Τρίτου καὶ πληθυντικῶν, συνθέτως τε ἅμα, καὶ διηρημένως, ὧδε.

Ἑαυτοῦ, ἑαυτῷ, ἑαυτόν.
Ἑαυτῆς, ἑαυτῇ, ἑαυτήν.
Ἑαυτοῦ, ἑαυτῷ, ἑαυτό.

Ἑαυτῶν, καὶ σφῶν αὐτῶν, ἑαυτοῖς, καὶ σφίσιν, αὐτοῖς, ἑαυτοὺς, καὶ σφᾶς, αὐτούς.

ΚΕΦ. ΙΔ'.

Περὶ Προθέσεων.

§. σκε'. Πρόθεσις δὲ, ἡ μὲν, μονοσύλλαβος, ἡ δὲ, δισύλλαβος. Καὶ μονοσύλλαβοι μέν εἰσιν ἓξ. Ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρὸ, δυοκαίδεκα δὲ δισύλλαβοι. Ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ.

ΚΕΦ. ΙΕ'.

Περὶ Ἐπιρρήματος.

§. σκς'. Τοῦ δὲ Ἐπιρρήματος τρόποι, τεσσαράκοντα δύο. Τὰ μὲν γὰρ καὶ ὕνται χρόνου. οἷον, νῦν, τότε, αὖθις, τόφρα, τέως, ἕως, πρώϊκα, ἔπειτα, μετέπειτα, σήμερον, αὔριον, χθὲς, καὶ τὰ τοιαῦθ' λέγεται, ἤδη, πάλαι, ἀεί.

Τὰ δὲ, Τόπου· οἷον, ἄνω, κάτω, ἔξω, ἔσω, ἔνδον, ἐγγὺς, πόρρω, ἐναντίον, χαμαὶ, ἔνθα, ὅθεν, ἐκεῖσε, μακρὰν.

Τὰ δὲ, Ποιότητος· οἷον, εὖ, καλῶς, κακῶς, σο-

σοφῶς, κυνηδὸν, βοτρυδὸν, ἀγεληδόν. Τούτων δὲ ὅσα γίνονται ἀπὸ τῆς γενικῆς πληθυντικῆς, καὶ μεσότητος προσαγορεύονται· οἷον, σοφῶς, ἀπὸ τῶν σοφῶν· καλῶς, ἀπὸ τῶν καλῶν.

Τὰ δὲ, Ποσότητος· οἷον, ἅπαξ, δὶς, τρὶς, τετράκις, πολλάκις, ὀλιγάκις.

Τὰ δὲ, Ἀθροίσεως· οἷον, ἅμα, ὁμοῦ, συλλήδην, ἀθρόως.

Τὰ δὲ, Παρακελεύσεως· οἷον, εἶα, ἄγε, φέρε, δεῦτε.

Τὰ δὲ, Διαιρέσεως: οἷον, ἄνευ, χωρὶς, διχῆ.

Τα δὲ, Ἐξαιρέσεως· οἷον, πλήν.

Τὰ δὲ, Τάξεως· οἷον, ἑξῆς, ἐφεξῆς. Τὰ δὲ Ὁμοιώσεως· οἷον, ὡς, ὥσπερ, καθὰ, καθάπερ. Τὰ δὲ, Ἀποτάσεως· οἷον, ὥστε. Τὰ δὲ, συγκρίσεως· οἷον, μᾶλλον, ἧττον. Τὰ δὲ, Ἐξηγηματικά· οἷον, δηλονότι, δηλαδὴ, ἤγουν, οἷον. Τὰ δὲ, Ποσότητος ἀορίστου, καὶ Ποιότητος· οἷον, ἀμηγέπως ὁπωσοῦν, ἀμηχέπη, ὁπωσδήποτε, ὁπωσδηποτοῦν, Τὰ δὲ, Ὑφαιρέσεως· οἷον, σπανίως, ἐλάχιστα, μόγις. Τὰ δὲ, Ἐκλογῆς· οἷον, μενοῦνγε. Σημειωτέον δὲ ὅτι τὰ μὲν ἀποτελεστικὰ· οἷον, Ἡράκλεις, Ἄπολλον. Τὰ δὲ, Ἐθνικά· οἷον, Ἕλλησι, Ῥωμαίοις, Ἑβραΐσι, Συρισὶ, Φρυγισὶ, Ἀρμενισί. Τὰ δὲ, Βιασμοῦ· οἷον, μόλις, μόγις. Τὰ δὲ Ἰσάσεως· οἷον, σχεδόν. Τὰ δὲ, Ὀργανικά· οἷον, ὁδὸς, λάξ. Τὰ δὲ, Ἀποθετικὰ, καὶ Προκαταρκτικά· οἷον, ἕως.

Τὰ

Τὰ δὲ, Ἐπιτάσεως· οἷον, λίαν, ἄγαν, πάνυ, μᾶλιστα, σφόδρα. Τὰ δὲ, Ἀνέσεως· οἷον, ἠρέμα, ἡσυχῇ. Τὰ δὲ, Βεβαιώσεως· οἷον, δηλαδὴ, δήπουθεν, πάντως, ὄντως, ἦ. Τὰ δὲ, Καταφάσεως· οἷον, ναί. Τὰ δὲ, Κατομώσεως· οἷον, νὴ, μά. Τὰ δὲ, Ἀπομώσεως· οἷον, μά· Τὰ δὲ, Ἀρνήσεως· οἷον, οὐ, οὐδαμῶς, ἥκιστα. Τὰ δὲ, Ἀπαγορεύσεως· οἷον, μὴ, μηδαμῶς. Τὰ δὲ, Εἰκασμοῦ· οἷον, ἴσως, τάχα, τυχόν. Τὰ δὲ, Ἐρωτήσεως· οἷον, πόθεν, ποῦ, πηνίκα, πῶς. Τὰ δὲ, Δείξεως· οἷον, ἰδοὺ, ἰδού, ἠνί. Τὰ δὲ, Κλήσεως· οἷον, ὦ. Τὰ δὲ, Διασαφήσεως· οἷον, οἷον. Τὰ δὲ, Θέσεως, οἷον, ἀναγνωσέον, πλευσέον, γραπτέον, ἰσέον. Τὰ δὲ Σχετλιασμοῦ· οἷον, ὤ, ἰού, οἴμοι, φεῦ. Τὰ δὲ Θαυμασμοῦ· οἷον, φεῦ, βαβαί. Τὰ δὲ Ἐκπλήξεως· οἷον, αἲ. Τὰ δὲ Θειασμοῦ· οἷον, εὐοῖ, εὐάν. Τὰ δὲ, Εὐχῆς· οἷον, εἴθε, ὄφελον· Παρέπεται δὲ αὐτῷ εἶδος, καὶ σχῆμα. Τὸ μὲν γὰρ, πρωτότυπον· οἷον, νῦν· τὸ δὲ, παράγωγον· οἷον, νυνί. Καὶ τὸ μὲν, ἁπλοῦν· οἷον, πάλαι· τὸ δὲ, σύνθετον· οἷον, πρόπαλαι.

ΚΕΦ. Ις'.

Περὶ Συνδέσμου.

§. σχζ'. Τοῦ δὲ Συνδέσμου, δυοκαίδεκα εἴδη. Οἱ μὲν γὰρ καλοῦνται συμπλεκτικοί· οἷον, μὲν, τὲ, τὴ, καὶ, ἀλλὰ, ἀτὰρ. Οἱ δὲ, Διαζευκτικοί· οἷον,

οἷον, ἤ, ἤτοι. Οἱ δὲ Συναπτικοί· οἷον, εἰ, εἴπερ, εἰδή, εἰδήπερ, Οἱ δὲ, Παρασυναπτικοί· οἷον, ἐπεί, ἐπείπερ, ἐπειδή, ἐπειδήπερ. Οἱ δὲ, Αἰτιολογικοί· οἷον, ἵνα, ὅφρα, ὅπως, ἕνεκα, οὕνεκα, γάρ, ὅτι, διότι. Οἱ δὲ, Ἀπορηματικοί· οἷον, ἆρα, εἶτα, μῶν, μή. Οἱ δὲ Συλλογιστικοί· οἷον, ἄρα, ἀλλά, ἀλλὰ μήν, οὖν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν. Οἱ δὲ, Παραπληρωματικοί· οἷον, δή, που, τοι, δῆτα, περ, πω, μήν, αὖ, οὖν, γε. Οἱ δὲ, Δυνητικοί· οἷον, ἄν. Οἱ δὲ, Διαχριτικοί, εἴτ' οὖν Ἐπιλεκτικοί· οἷον, ἤ. Οἱ δὲ Ἐλαττωτικοί· οἷον, γοῦν, γε. Οἱ δὲ, Ἐναντιωματικοί· οἷον, ὅμως, καίτοι, καίπερ, ἔμπης. Παρέπεται δὲ αὐτῷ σχῆμα. Ὁ μὲν γάρ, ἁπλοῦς· οἷον, ἐπεί. Ὁ δὲ, Σύνθετος, οἷον, ἐπειδή-

ΜΕΡΟΣ Β'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ Διαφόρων εἰδῶν τοῦ Ὀνόματος.

§. σκή. Εἴδη δὲ τοῦ Ὀνόματος, κατάγε σημασίαν, τάτε πρότερον εἰρημένα, Κύριον, Προσηγορικόν, καὶ Ἐπίθετον, καὶ ἄλλα πολλά, τούτοις ὑπαγόμενα· οἷον, τὰ Ἐρωτηματικά· τίς, ποῖος. Τὰ Ἀναφορικὰ ὅσος, οἷος. Τὰ Ἀνταποδοτικά. τόσος, τοιοῦτος. Τὰ Ἀριθμητικά. εἷς, δύο, τρεῖς. Τὰ Τακτικά· πρῶτος, δεύτερος, τρίτος. Τὰ Ἐπιμεριζόμενα· ἕτερος, ἑκάτερος, ἕκαστος, ἄλλος. Τὰ Ἐθνικά· Φρύξ, Σκύθης. Τὰ Περιεκτικά· ἀμπελών, ἐλαιών. Τὰ Περιληπτικά· δῆμος, πλῆθος. Τὰ Γενικά· ζῶον, φυτόν. Τὰ Εἰδικά· ἵππος, ἐλαία. Τὰ Πεποιημένα· φλοῖσβος, ῥίζος. Τὰ Μετουσιαστικά· θεός, θνητός, γεώδης· καὶ ἄλλ' ἄττα, περὶ ὧν ἐν τῷ περὶ Συντάξεως λέξομεν.

Κανόνες Περὶ τῶν διαφόρων εἰδῶν τοῦ Ὀνόματος.

§. σκθ'. Τὰ μὲν δὴ Κύρια, ἀεὶ ἀναγεννᾶται.

καὶ ἤτοι ἀρσενικὸν μόνον, ἢ θηλυκόν· οἷον, Ὅμηρος, Καλλιόπη. Τοιαῦτα δὲ καὶ τὰ πόλεων ὀνόματα, καθ' ἓν γένος, καὶ καθ' ἕνα λεγόμενα ἀριθμόν. Ὀρχομενός, Ἀθῆναι, Μέγαρα.

§. σλ'. Τῶν δὲ Προσηγορικῶν, ὅσα σημαντικὰ ζώων, κοινὰ τῷ γένει, ὡς ἐπὶ τὸ πλεῖόν ἐσιν. ἔνια μὲν τοι καὶ ἐπίκοινα. τὰ δ' ἄλλα μονογενῆ.

§. σλα'. Τὰ δὲ κυρίως Ἐπίθετα, τριγενῆ πάντα· σοφὸς, σοφὴ, σοφόν· τὰ δὲ ἐπαμφοτερίζοντα, καὶ νῦν μὲν ὡς ἐπίθετα λαμβανόμενα, νῦν δὲ ὡς προσηγορικά· οἷον τὸ, εὐεργέτης, καὶ πολίτης, καὶ βασιλεὺς, καὶ τὰ τοιαῦτα, διγενῆ ἐζι· τοιοῦτο δὲ καὶ τὸ τρήρων, καὶ πτώξ.

§. σλβ'. Καὶ τὰ μὲν εἰς ος καθαρὸν, ἁπλᾶ. τριγενῆ, εἰς α τὸ θηλυκὸν παρασχηματίζει δίκαιος, δικαία· ὡσαύτως δὲ καὶ ὅσα τῷ ο συλλαβιζομένην ἔχει τὴν λήγουσαν· ἀνθρώπος, ἀνθρώπα· τὸ δὲ ὀλβίη, καὶ τὰ τοιαῦτα, Ἰωνικά.

§. σλγ'. Τὰ δὲ εἰς ος μὴ καθαρὸν λήγοντα, εἰς η τὸ θηλυκὸν ἔχει σχηματιζόμενον· οἷον, ἔρημος, ἐρήμη, φρόνιμος, φρονίμη.

§. σλδ'. Τὰ δὲ Ἐρωτηματικὰ, εἴτουν πευσικὰ, τριγενῆ καὶ αὐτά ἐζι, τὶς, τί· ποῖος, ποία, ποῖον, κλητικὴν τε οὐκ ἔχει, λαμβάνεται δὲ ἢ κατ' οὐσίαν· οἷον τὸ, τὶς· ἢ κατὰ ποίον· οἷον, τὸ, ποῖος, ἢ κατὰ τοσόν· οἷον τὸ, πόσον, καὶ πηλίκον, καὶ τόσος· καὶ πότερον· ἢ κατὰ τόπον· οἷον, τὸ, ποδαπὸς.

§. σλε'.

§. σλε'. Ὡσαύτως δὲ καὶ τὰ Ἀόριζα τριγενῆ ἐζι, καὶ ἕκασα ἀφ' ἑκάζων τῶν πευσικῶν σχηματίζεται, προθέσει τοῦ ο, ποῖος, ὁποῖος, πότερος, ὁπότερος.

§. σλς'. Τριγενῆ δὲ καὶ τὰ Ἀνταποδοτικὰ, καὶ Ἀναφορικὰ, καὶ ἢ κατὰ τὸ ποιὸν, ἢ κατὰ τὸ ποσὸν λαμβανόμενα, τοιοῦτος, οἷος· τηλικοῦτον, ἡλίκον· τοσον, ὅσον.

§. σλζ'. Τὰ δὲ περιληπτικὰ, εἴτουν συσηματικὰ, μονογενῆ, δῆμος, πλῆθος.

§. σλη'. Τὰ γεμὴν Ἐπιμεριζόμενα, τριγενῆ· ἕτερος, ἑτέρα, ἕτερον. ἄλλος, ἄλλη, ἄλλο. τετραχῶς δὲ τὰ ἐπιμεριζόμενα· ἢ γὰρ ἓν ἐκ δυοῖν· οἷον, τὸ ἕτερον· ἢ δύο καθ' ἕν· οἷον, τὸ ἑκάτερον· ἢ ἓν ἐκ πολλῶν· οἷον, τὸ ἄλλο, ἢ πολλὰ καθ' ἕν· οἷον, τὸ Ἕκαζον.

§. σλθ'. Τριγενῆ δὲ καὶ τὰ Μετουσιαζικὰ, λίθινος, λιθίνη, λίθινον· ταυτὶ δὲ καὶ ἀπὸ μόνων τῶν ὁμοιομερῶν σχηματίζεται· ξύλον γὰρ, καὶ ὀζοῦν, καὶ σὰρξ, τῶν ὁμοιομερῶν· ὅθεν τὸ ξύλινον καὶ ὀζέινον, καὶ σάρκινον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰς δύο δὲ μάλιζα καταλήξεις χωρίζεται· ἤτοι γὰρ εἰς ινος, πήλινος· ἢ εἰς ωος πηλῶδης, χιονῶδης. τῶν γεμὴν ἐκ μετάλλων, ἰδία κατάληξις εἰς εος, καὶ ους καὶ συναίρεσιν. χρύσεος, οὖν σιδήρεος, οὖν. χάλκεος, οὖν. ἀργύρεος, οὖν. οἷς καὶ τὸ κεραμεοῦν ἠκολούθησε.

§. σμ'. Τὰ δὲ Ἐθνικὰ, διγενῆ ἐζι. Κρὴς, Κρῆσσα.

Φοίνιξ, Φοίνισσα. Θρᾴξ, Θρᾴσσα. Ἕλλην, Ἑλληνίς. Σκύθης, Σκυθίς.

Περὶ τῶν κατὰ φωνὴν εἰδῶν τοῦ ὀνόματος. εἴτουν περὶ τῶν τοῦ Παραγώγου Εἰδῶν.

§. σμά. Τῶν δὲ παρεπομένων τῷ ὀνόματι τὸ εἶδος, τὸ μὲν ἐστι Πρωτότυπον, τὸ δὲ, Παράγωγον. Τοῦ δὲ Παραγώγου εἴδη ἑπτά. Πατρωνυμικὸν, Κτητικὸν, Ὑποκοριστικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, Παρώνυμον, καὶ Ῥηματικόν.

Σχηματισμοὶ Πατρωνυμικῶν.

§. σμβ. Πατρωνυμικοῦ δὲ σχηματισμοὶ τοιοῦτοι. Ὅσα μὲν τῶν κυρίων ὀνομάτων εἰς ος καθαρὸν λήγει, εἰς αδης μετασχηματιζόμενα, τὸ ἀρσενικὸν Πατρωνυμικὸν ποιεῖ· οἷον, Ἥλιος, ἡλιάδης. ὅσα δὲ εἰς ος μὴ καθαρὸν, εἰς ιδης· Κρόνος, Κρονίδης. Τὰ δὲ τῆς πρώτης κλίσεως, πάντα εἰς αδης· Αἰνείας, Αἰνειάδης. Ἰφίτης, Ἰφιτάδης. Τοῖς γεμὴν πεμπτοκλίτοις, ἀπὸ τῶν γενικῶν ὁ σχηματισμὸς εἰς ιδης. Εὐθὺ δὴ καὶ συναίρεσις γίνεται, ἐφ' ὧν τὸ ε παραλήγει ἀπὸ τῆς εὐθείας, καὶ σχηματισμὸς ἕτερος [illegible]ου· Πέλοψ, Πέλοπος. Πελοπίδης. Δημοσθένης, Δημοσθένους, Δημοσθενίδης. Πηλεὺς, Πηλέως, Πηλεΐδης, καὶ κατὰ συναίρεσιν, Πηλείδης, καὶ Πηλείων, Ἰωνικῶς. Ἄτρευς, Ἀτρέως, Ἀτρείδης, καὶ Ἀτρείων.

Πε-

Περὶ Θηλυκῶν Πατρωνυμικῶν.

§. σμγ. Τὰ δὲ θηλυκὰ πατρωνυμικὰ, ἀπὸ τῶν ἰδίων ἀρσενικῶν, ἐκβολῇ τοῦ δη· Ἠλιάδης, Ἠλιάς. Νεσορίδης, νεσορίς. Καὶ ἔστι τὰ μὲν ἀρσενικὰ, κλίσεως πρώτης· τὰ δὲ θηλυκὰ, πέμπτης· Πριαμίδης, Πριαμίδου. Πριαμὶς, Πριαμίδος.

§. σμδ. Ἔστι δὲ καὶ ἑτέρου πατρωνυμικοῦ εἶδος καταχρησικῶς, ἐπὶ μὲν ἀρσενικοῦ, εἰς δης· οἷον, Τῥῥάδιος· ἐπὶ δὲ θηλυκοῦ, εἰς νη· οἷον, Ἀδρᾱστίνη, καὶ Ἠετιώνη· ὥσθ' οὕτω τριχῶς ἂν εἴη τό τε ἀρσενικὸν, καὶ τὸ θηλυκόν.

Σχηματισμοὶ Κτητικῶν.

§. σμε. Τὰ δὲ Κτητικὰ ἀπὸ κυρίων, καὶ προσηγορικῶν παράγεται· καὶ εἰς ειον μὲν ἀπὸ τῶν εἰς ευς· οἷον, νηλεὺς, νηλέως, νήλειον· ἀλλ' οὐ μόνον· ἀπὸ γὰρ τοῦ ἀνθρώπου τὸ ἀνθρώπειον· τὰ εἰς κος δὲ, καὶ εἰς ωδες, ἐπὸ τῶν εἰς ος· λόγος, λογικός· λίθος, λιθώδες· ἀλλ' οὐ μόνον. Βασιλεὺς γὰρ, βασιλικόν· καὶ δεκέλεια, δεκελικόν· καὶ γέα, γεώδες, καὶ ἄκανθα, ἀκανθώδες.

§. σμς. Γραμματικοῦ δὴ κἀνταῦθα μηδὲν ὑπὸ τοῦ ἀχρήστου παρακωλυόμενον, θέσθαι ἄμφω τὰ εἴδη ἑκάστου τῶν εἰρημένων παράγεσθαι, ἂν οὕτως γὰρ ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπικὸς, καὶ ἀνθρώπειον· οὕτω καὶ ἀπὸ τοῦ Ὁμήρου, Ὁμηρικὸν, καὶ Ὁμήρειον· καὶ ἀπὸ τοῦ Αἴαντος, Αἰαντικὸν, καὶ Αἰάντειον· καὶ ἀπὸ τοῦ Πλάτωνος, Πλατωνικὸν, καὶ Πλατώνειον.

§. σμ[illegible]

§. σμζ'. Ἔνιοι δὲ καὶ τὰ παρωνύμως ἀπὸ τόπου λεγόμενα οἰκειωματικὰ, κτητικὰ ὀνομάζουσιν· οἷον τὸ, οὐράνιος, καὶ θαλάσσιος, καὶ τὰ ὅμοια. ὥστε καὶ εἴη ἂν οὕτω τὰ κτητικὰ τριχῶς· ἢ γὰρ οἰκειωματικῶς, οὐράνιον· ἢ συνεχφαντικῶς γραμματικόν· ἢ μετουσιαστικῶς, λιθῶδες.

Σχηματισμοὶ Ὑποκοριστικῶν.

§. σμή'. Καὶ τὰ Ὑποκοριστικὰ δὲ ἀπὸ κυρίωντε καὶ προσηγορικῶν σχηματίζεται· οἷον, ἀπὸ μὲν τοῦ Ζηνόδωρος, Ζηνᾶς. ἀπὸ δὲ τοῦ ἄνθρωπος, ἀνθρωπίσκος. Εἰδὴ δὲ τοῦ μὲν ἀρσενικοῦ, ἔξ. εἰς ων δισυλλάβως Βάκχων, ὁ Βακχυλίδης· εἰς ων, παραλήγον τῷ ω· μωρίων, ὁ μωρός. εἰς αξ. ῥόδαξ, ὁ ῥόδιος. εἰς ας, ζηνᾶς, ὁ ζηνόδωρος. μητρᾶς, ὁ μητρόδωρος. εἰς κος. ἀνθρωπίσκος, ὁ ἄνθρωπος. εἰς λος· ναυτίλος, ὁ ναύτης. Τῶν δὲ θηλυκῶν, τρία· ὰς ων, ὖψων, ἡ ὑψιπύλη· εἰς ις· θεραπαινὶς, ἡ θεράπαινα. εἰς κη, παιδίσκη, ἡ παῖς. Τῶν δὲ οὐδετέρων, ἓν, εἰς ον· μειρακύλλιον.

Σχηματισμοὶ Συγκριτικῶν καὶ Ὑπερθετικῶν.

§. σμθ'. Τὰ εἰς ις λήγοντα τῶν Ἐπιθέτων τριγενῆ ὀνομάτων, μεταβολῇ τοῦ σ εἰς τ, καὶ προσλήψει τοῦ ερος, συγκριτικὰ γίνεται· οἷον, ἔνδοξος, ἐνδοξότερος· προσλήψει δὲ τοῦ ατος, ὑπερθετικά. ἔνδοξος, ἐνδοξότατος, παλαιὸς παλαιότατος. Πλὴν τοῦ κηλὸς, καὶ κακὸς, καὶ ἑτέρων τινῶν. καλλίων γὰρ καλλιστος. κακίων, κάκιστος. βελτίων, βέλτιστος.

στος. ἀμείνων, κρείττων, ἄριστος. χείρων, ἐλάττων, ἧσσων, μείων, ἐλάχιστος, μείζων, μέγιστος, ῥᾴων, ῥᾷστος. Εἰδὲ εἰς ης τὸ θετικὸν διὰ τοῦ εος τυγχάνει, κλινόμενον, ἀπὸ τοῦ ες οὐδετέρου τὸ συγκριτικὸν, καὶ ὑπερθετικὸν γίνεται, προσλήψει, τοῦ τερος, καὶ τατος· εὐγενὴς, εὐγενὲς, εὐγενέστερος, εὐγενέστατος. ἀληθὴς, ἀληθὲς, ἀληθέστερος, ἀληθέστατος.

Εἰ δὲ εἰς υς εἴη τριγενές, δηλον ὅτι καὶ τοῦτο ἀπὸ τοῦ οὐδετέρου ὁμοίως, βραχὺς, βραχὺ, βραχύτερος, βραχύτατος. πλὴν τοῦ ηδὺς, πολὺς, ταχὺς· ἡδίων γάρ, ἡδιστος. καὶ πλεόων, πλεῖστος, καὶ ταχείων, τάχιστος. ἢ καὶ ταῦτα προσθέσει ἔτι τοῦ τερος, καὶ τατος, εἴη ἂν σχηματίσαι, πλὴν τοῦ πολύς. ηδύτερος, ηδύτατος, ταχύτερος, ταχύτατος· τῶν εἰς υς ἄρα τὰ μὲν, ἁπλοῦν τὸ συγκριτικὸν, καὶ ὑπερθετικὸν ποιεῖται, τὰ δὲ, διπλοῦν· ἁπλοῦν μὲν τὸ εὐρύς· εὐρύτερος γὰρ, εὐρύτατος μόνον. διπλοῦν δὲ τὸ ηδὺς καὶ γλυκὺς, καὶ ὠκύς· ταῦτα γὰρ οὐ μόνον εἰς τερος, καὶ τατος, ἀλλὰ καὶ εἰς ων, καὶ εἰς ος. γλυκίων, γλύκιστος. ὠκίων, ὤκιστος. ὁμοίως δὲ τούτοις καὶ τὸ, αἰσχρὸς, καὶ ἐνθρός· εἰ δὲ καὶ τὸ βράσσων, καὶ θάσσων, καὶ πάντων οὐ παραλιπεῖν δέοι, εἴη ἂν οὕτω καὶ ἅττα τριπλοῦν τὸ σχῆμα παρέχοιτο· ἀπὸ γὰρ τοῦ βραδὺς, καὶ βραχὺς τὸ βράσσων συγκριτικὸν καὶ ἀπὸ τοῦ ταχὺς τὸ, θάσσων, καὶ ἀπὸ τοῦ παχὺς τὸ, πάσσων· τὰ δὲ εἰς ἄλλο τι λήγοντα, τῷ ερος, καὶ ερατος, ὡς ἐπὶ τὸ πλεῖστον εἰς συγκριτικὰ, καὶ ὑπερθετικὰ μετασχηματίζεται, ὡδὶ

δε· σώφρων, σώφρονος, σωφρονέστερος, σωφρονέστατος. χαρις, χαρίεντος, χαριέστατος. Καὶ χωρὶς δὲ τοῦ ε, εὔνους, εὐνούστερος, εὐνούστατος. οὐ μόνον δ' ἀπὸ ὀνομάτων συγκριτικὰ, ἀλλὰ καὶ ἀπὸ μετοχῶν, ἐρρωμενέστερος· καὶ ἔτι ἀπὸ προθέσεων· πρότερος, καὶ ὑπέρτερος· καὶ ἀπὸ ἐπιρρημάτων ἐγγύτερος, πορρώτερος, ἀνώτερος.

Σχηματισμοὶ Παρωνύμων.

§. σν'. Παρωνύμου δέ τοσοι σχηματισμοὶ, ὅσα καὶ ἤδη Ὀνόματος, καὶ εἴη ἂν ἀφ' ἑκάστου τῶν Ὀνομάτων παράγειν, ἀρσενικὸν μὲν, εἰς ων. μονογενὲς· φίλος, φίλων· θηλυκὸν δὲ, εἰς οτης μονογενὲς· φιλότης. οὐδέτερον δὲ, εἰς ιον, καὶ ὅλως εἰς ον τριγενὲς, φίλιον· οὐχ ἁπλοῦν μέν τοι τριγενές· ἀλλ' ὡς τὰ τῶν εἰδῶν ληκτικά τε, καὶ παραληκτικά. ἀνθρωπικὸν γοῦν καὶ ἀνθρώπειον, καὶ ἀνθρωπῶδες· καὶ πήλινον, καὶ ἀνθρῴνον. Καὶ ὅλως κατὰ τὸν ἀποδοθέντα σχηματισμὸν τῶν εἰδῶν τοῦ Ὀνόματος. σκοπεῖν δὲ χρὴ, καὶ εἰ δεκτικὸν τριγενείας τὸ εἶδος. οὐ γὰρ καθόλου τὰ εἰς ον οὐδέτερα, τριγενῆ. ζωΐφιον γοῦν, καὶ μειρακύλλιον, καὶ βρέβητιον. καὶ ὅλως τὰ ὑποκοριστικὰ, μονογενῆ. θεωρητέον δὲ καὶ τοὺς λοιποὺς τῶν πρώτων σχηματισμοὺς, κατὰ τὴν διαφορὰν τῶν εἰδῶν· οἷον, ἐπὶ μὲν τοῦ ὑποκοριστικοῦ, λίθαξ, ἀνθρωπίσκος, μητρᾶς. ἐπὶ δὲ τοῦ πατρωνυμικοῦ εἰς δης. Ἀτρείδης, Ἠλιάδης, Κρονίδης.

Σχηματισμοὶ Ῥηματικῶν.

§. σνά. Τὰ δὲ Ῥηματικὰ, ὡς καθόλου εἰπεῖν, ἀπὸ τοῦ παθητικοῦ Παρακειμένου, ἤτοι πρώτου προσώπου, ἢ δευτέρου, ἢ τρίτου· τὰ μὲν οὖν εἰς μα τῶν ῥηματικῶν, καὶ τὰ εἰς μος, ἀπὸ τοῦ πρώτου· πεποίημαι, ποίημα· λελόγισμαι, λογισμός, τὰ δὲ εἰς εις θηλυκὰ, ἀπὸ τοῦ δευτέρου· λέλυσαι, λύσις, τὰ δὲ εἰς της ἀρσενικὰ, καὶ ἔτι τὰ εἰς τος τριγενῆ, ἀπὸ τοῦ τρίτου· πεποίηται, ποιητὴς, ἤκουσαι, ἀκουστός. καὶ πρὸς τούτοις τὰ εἰς ήριον Προσηγορικὰ· πέπωται, πωτήριον. Τινὰ δὲ καὶ ἀπὸ ἐνεστώτων· οἷον, τύπτω, τύπος· λέγω, λόγος· κόπτω, κοπεύς. βοηθῶ, βοήθεια. ἔστι δὲ ἃ καὶ ἀπὸ τοῦ μέλλοντος· οἷον, ἐλπίζω, ἐλπίσω, ἐλπίς.

Ἐφ' ἃς τῶν Κλίσεων ἕκαστον τῶν ὀνομάτων ἀνάγεται.

Κανόνες.

§. σνβ. Τὰ εἰς ας καθαρὰν ὑπερδισύλλαβα, ἁπλᾶ, βαρύτονα, ἐπὶ τὴν πρώτην ἀνάγεται τῶν ἰσοσυλλάβων· Αἰνείας.

§. σνγ'. Ἔτι τὰ εἰς ης βαρύτονα, ἀπὸ μονογενῆ, σπονδιακὰ, τουτέστιν ὅσα δὴ καὶ τὴν παραλήγουσαν ἔχει μακράν· Χρύσης. Καὶ μὴ ἁπλᾶ δὲ, ἢν μὴ ἐξ οὐδετέρου εἰς ος λήγοντος συγκέηται· τελώνης, ὀλυμπιονίκης.

§. σνδ'. Ἔτι τὰ εἰς δης ἐσχηματισμένα, εἰ

Πατρωνυμικὰ, εἶτα. Κύρια. Πριαμίδης, Παλαμίδης. πλὴν τῶν ἀπὸ εἰς δος οὐδετέρου συνθέτων· οἷον, τὸ Διομήδης, καὶ Εὐκλείδης. τὸ δὲ Ὑπερείδης, καὶ Ἀρχεάδης, καὶ ἕτερ' ἄττα, τοῖς Πατρωνυμικοῖς ἀκολουθοῦντα τυγχάνει.

§. σνε'. Ἔτι τὰ εἰς της Ἰαμβοκαταλήκτα. δεσπότης, δεσπότου. πλὴν τοῦ Κράτητος γάρ.

§. σνς'. Τὰ δὲ εἰς α, ἢ εἰς η θηλυκὰ, ἐπὶ τὴν δευτέραν. μαία, τιμή.

§. σνζ'. Τὰ εἰς ος ἀρσενικὰ, καὶ θηλυκὰ, καὶ τὰ εἰς ον οὐδέτερα, ἐπὶ τὴν τρίτην· λόγος, ὁδὸς, ἀγαθόν.

§. σνη'. Τὰ δὲ εἰς ως ἀρσενικὰ, καὶ θηλυκὰ, Ἀττικῶς, καὶ τὰ εἰς ων οὐδέτερα, ἐπὶ τὴν τετάρτην· ὁ Μενέλεως, ἡ ἀλώς, τὸ εὐγεων.

§. σνθ'. Τὰ δὲ παρὰ τὰ εἰρημένα δὴ πάντα σχηματιζόμενα ἀρσενικά τε, καὶ θηλυκὰ, καὶ οὐδέτερα ἐπὶ τὴν πέμπτην· τὴν γὰρ Γενικὴν πάντα ταῦτα ἔχει περιττοσύλλαβον· ἐξ ὧν δὴ καὶ αἱ τῶν συνῃρημένων γίνονται Κλίσεις, κατάγε τοὺς διορισθέντας τύπους.

Περὶ τῶν Ἀριθμητικῶν Ὀνομάτων.

§. σξ'. Τῶν δὲ ἀριθμητικῶν τὰ μὲν ἓν σημαίνοντα, ἑνικῶς μόνον κλίνεται, τὰ δὲ δύο, δυϊκῶς. τὰ πλείονα, πληθυντικῶς, ὧδε. εἷς, ἑνὸς, ἑνὶ, ἕνα. μία, μιᾶς, μιᾷ, μίαν. ἕν, ἑνὸς, ἑνὶ, ἕν. Δύω, δυοῖν. τὸ δὲ δύο, οὐ μόνον δυϊκῶς λέγεται, ἀλλὰ καὶ πληθυντικῶς.

Οἱ δύο, αἱ δύο, τὰ δύο, τῶν δύο, τοῖς δύο, καὶ δυσὶ,

δυσὶ, τοὺς δύο, τὰς δύο.

Τρεῖς, τριῶν, τρισὶ, τρεῖς, τρία, τριῶν, τρισὶ, τρία. Τέσσαρες, τεσσάρων, τέσσαρσι, τέσσαρας, Τέσσαρα, τεσσάρων, τέσσαρσι, τέσσαρα. Ἀπὸ δὲ τῶν τεσσάρων μέχρι τῶν ἑκατὸν, πᾶς ἀριθμὸς ἄκλιτος. διακόσιοι δὲ, καὶ τριακόσιοι, καὶ χίλιοι, καὶ τὰ ὅμοια, κλίνεται τριγενῶς ἐν πληθυντικῷ ἀριθμῷ.

Κλίσεις Τῶν Ἐπιθέτων.

§. σξά. Κλίνεται δὲ τὰ Ἐπίθετα ὀνόματα καὶ γενικῶς. Ὧδε.

Ὁ σοφὸς, ἡ σοφὴ, τὸ σοφόν.
Ὁ καθαρὸς, ἡ καθαρὰ, τὸ καθαρόν.
Ὁ ἅγιος, ἡ ἁγία, τὸ ἅγιον.
Ὁ πᾶς, ἡ πᾶσα, τὸ πᾶν.
Ὁ χαρίεις, ἡ χαρίεσσα, τὸ χάριεν.
Ὁ ἡδὺς, ἡ ἡδεῖα, τὸ ἡδύ.
Ὁ μέλας, ἡ μέλαινα, τὸ μέλαν.
Ὁ καὶ ἡ φιλόκαλος, καὶ τὸ φιλόκαλον.
Ὁ καὶ ἡ ἀληθὴς, καὶ τὸ ἀληθές.
Ὁ καὶ ἡ εὐδαίμων, καὶ τὸ εὔδαιμον.
Ὁ καὶ ἡ φιλόπατρις, καὶ τὸ φιλόπατρι.
Ὁ καὶ ἡ πολύπους, καὶ τὸ πολύπουν.
Ὁ καὶ ἡ πολύδακρυς, καὶ τὸ πολύδακρυ.
Ὁ καὶ ἡ ἵλεως, καὶ τὸ ἵλεων.
Ὁ μέγιστος, ἡ μεγίστη, τὸ μέγιστον.
Ὁ καὶ ἡ μείζων, καὶ τὸ μεῖζον.

Καθόλου μὲν οὖν τὰ εἰς ων συγκριτικὰ, κοινὰ εἰσι τῷ γένει. Καὶ τὰ σύνθετα δὲ, ὡς ἐπὶ τὸ πλεῖστον κοινά.

ΚΕΦ. Β.

Περὶ τῶν Ἀρκτικῶν χρόνων τοῦ Ῥήματος, καὶ περὶ Αὐξήσεως τῶν Παρωχημένων, καὶ τινων ἄλλων ἀναγκαίων καὶ περὶ τοῦ σχηματισμοῦ τῶν χρόνων, Κανόνες.

Περὶ τῶν Ἀρκτικῶν χρόνων.

§. σξϛ'. Τρεῖς μὲν οἱ πρῶτοι εἰσι καὶ ἀρκτικοὶ χρόνοι· Ἐνεστὼς, Παρακείμενος, καὶ Μέλλων· γίνονται δὲ ἀπὸ τούτων ἕταροι τρεῖς, Παρατατικὸς, Ὑπερσυντελικὸς, καὶ Ἀόριστος. ἀπὸ μὲν τοῦ ἐνεστῶτος, ὁ Παρατατικός. ἀπὸ δὲ τοῦ παρακειμένου. ὁ Ὑπερσυντελικός. ἀπὸ δὲ τοῦ μέλλοντος, ὁ Ἀόριστος. Ὅθεν καὶ ὁ Παρατατικὸς τὸ τοῦ Ἐνεστῶτος φυλάττει σύμφωνον· οἷον, γράφω, ἔγραφον. ὁ Ὑπερσυντελικὸς, τοῦ Παρακειμένου· οἷον, γέγραφα, ἐγεγράφειν. ὁ Ἀόριστος, τοῦ Μέλλοντος· οἷον, γράψω, ἔγραψα.

Περὶ τῶν τελικῶν συμφώνων.

§. σξζ'. Εἰσὶ δὲ τελικὰ τῶν μελλόντων τρία· ψ, ξ, σ, πλὴν τῶν ἀμεταβόλων· Καὶ τρία τῶν Παρακειμένων, φ, χ, κ. Ὅθεν εἰμὲν ὁ μέλλων τὸ ψ, ἔχει, ὁ Παρακείμενος τὸ φ· οἷον, γράψω, γέγραφα. εἰδὲ ὁ μέλλων τὸ ξ, ὁ Παρακείμενος τὸ χ· οἷον, λέξω, λέλεχα· εἰδὲ ὁ Μέλλων τὸ σ, ὁ παρακείμενος τὸ κ. οἷον, πλήσω, πέπληκα. Καὶ τὰ εἰς ἀμετάβολον δὲ, καὶ ἔτι τὰ συνῃρημένα, καὶ τὰ εἰς μι, εἰς κα παοῦσι τὸν Παρακείμενον.

Περὶ τῆς αὐξήσεως τῶν παρωχημένων.

§. σξδ'. Εἰμὲν ἀπὸ συμφώνου ἄρχεται τὸ Ῥῆμα, ὁ Παρατατικὸς καὶ Ἀόριστος α'. καὶ β'· προσλαμβάνουσιν ε, ὅπερ συλλαβικὴν αὔξησιν καλοῦμεν· οἷον, γράφω, ἔγραφον, ἔγραψα, ἔγραφον.

§. σξε'. Εἰδὲ ἀπὸ φωνήεντος, ἢ μεταβολικοῦ, ἢ ἀμεταβόλου, δηλονότι, η, ε, υ, ω, οὐδεμία τροπὴ γίνεται ἐν τοῖς παρωχημένοις· οἷον, ἠχέω, ῶ. ἤχεον, ουν. ἤχηκα, ἠχήκειν, ἤχησα. ἰξεύω, ἰξεύον, ἰξευκα, ἰξεύκειν, ἰξευσα. ὑβρίζω, ὑβρίζον, ὑβρικα, ὑβρίκειν, ὑβρισα. ὠφελέω, ῶ. ὠφέλεον, ουν. ὠφέληκα, ὠφελήκειν, ὠφέλησα. ταῦτά τοι καὶ ἀμεταβολα προσηγόρευται, ὡς μὴ τρεπόμενα.

§. σξς'. Εἰ δὲ τὸ Ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος μεταβολικοῦ, εἴτουν τρεπτοῦ, δηλονότι, α, ε, ο, γίνεται τροπὴ ἐν τοῖς παρωχημένοις, ἣν χρονικὴν αὔξησιν καλοῦμεν. Καὶ εἰμὲν ἄρχεται ἀπὸ ᾱ, τρέπεται κοινῶς τὸ α, εἰς η. οἷον, ἀνύω, ἤνυον, ἤνυκα, ἠνύκειν, ἤνυσα. Ἐξαιρεῖται τὸ ἀηθέσσω, ἀήθεσσον, καὶ ἀηδίζομαι, ἀηδιζόμην· διὰ τὴν ἐπαλληλίαν τῶν δύο ηη. καὶ ἄω, τὸ πνέω, ἄον, ἵνα μὴ συνεμπέσῃ τῷ ηον. καὶ αἴω, τὸ ἀκούω, αἴον, ἵ[illegible] μὴ

μὴ συνεμπέσῃ τῷ ἥϊον, τῷ ἐπορευόμην.

§. σξζ. Εἰ δὲ ἀπὸ τοῦ ε ἄρχεται, ὁμοίως τρέπεται τὸ ε, εἰς η· οἷον, ἐλεέω, ῶ· ἠλεεσα, ουν· ἠλέηκα, ἠλεήκειν, ἐλέησα. Πλὴν τῶν σεσημειωμένων, ἐν οἷς μένον τὸ ε, προσλαμβάνει καὶ ι· οἷον, ἔχω, εἶχον. ἔπω, εἶπον. ἕλω, εἷλον. ἑσήκω, εἰσήκειν· ἕπομαι, εἱπόμην. ἑάω, ῶ. εἴαον, ων. ἑσιῶ, εἰσίων, ἑρπύζω, εἵρπυζον. ἕρπω, εἷρπον. ἕλκω, εἵλκον. ὑλκύω, εἵλκυον. ἑρύω, εἵρυον. ἐθίζω, εἰθιζον. ἔθω, εἴωθα. ἕω, εἶμαι. ἐργάζομαι, εἰργαζόμην.

§. σξή. Εἰ δὲ ἀπὸ τοῦ ο μικροῦ, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα, οἷον, ὀνομάζω, ὠνόμαζον, ὠνόμακα, ὠνομάκειν, ὠνόμασα. Παρὰ ποιηταῖς δὲ τὰ τοιαῦτα ἀναύξητα, εἴτουν ἄτρεπτα μένουσι, διὰ τὸ μέτρον, ἔθει Ἰωνικῶ· οἷον, ἄκουσεν, ἀντὶ ἤκουσεν. ἴλαυνεν, ἀντὶ ἤλαυνεν. ὀνόμηνεν, ἀντὶ ὠνόμηνεν.

Περὶ τῶν ἀπὸ Διφθόγγου ἀρχομένων.

§. σξθ. Εἰ δὲ ἀπὸ Διφθόγγου ἄρχεται τὸ Ῥῆμα, ἢ ἀπὸ τρεπτῆς, ἢ ἀπὸ ἀτρέπτου. εἰμὲν ἀπὸ ἀτρέπτου, δηλονότι, ευ, ει, ου, οὐδεμία τροπὴ γίνεται· οἷον, εὐδω. εὕδον, καὶ ηὗδον, Ἀττικῶς· εἰκάζω, εἴκαζον· οὐρεύω, ῶ. οὔρευον, ουν.

§. σο. Εἰ δὲ ἀπὸ τρεπτῆς, δηλονότι, αι, αυ, οι, γίνεται ἡ αὐτὴ τροπὴ τῶν μεταβολικῶν φωνηέντων. Καὶ εἰμὲν ἀπὸ τῆς αι, τρέπεται τὸ α. εἰς η, τὸ ι. ὑπογράφεται. Ὅθεν καὶ τὸ π. Διφθογγός

γός ἐστι καταχρηστικόν· οἷον, αἴρω, ᾖρον, ἦρκα, ἤρκειν.

§. σοα. Εἰ δὲ ἀπὸ τῆς αυ, τρέπεται το α, εἰς η· οἷον, αὐλέω, ῶ. ηὔλεον, ουν. ηὔληκα, ηὐλήκειν, ηὔλησα.

§. σοβ. Εἰ δὲ ἀπὸ τῆς οι, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα, καὶ τὸ ι, ὑπογράφεται. ὅθεν καὶ τὸ ω Δίφθογγός ἐστι καταχρηστική· οἷον, οἰκτείρω, ᾠκτειρον, ᾠκτειρα. πλὴν τῶν σεσημειωμένων ἀτρέπτων· οἷον, οἰῶμαι, οἰώθην. οἰμῶ, οἴμησα. οἰνῶ, οἴνησα. οἰζῶ, οἴζησα. οἰωνίζομαι· οἰωνισάμην. οἰωνοσκοπῶ, οἰωνοσκόπησα. οἰωνοπολῶ, οἰωνοπόλησα· οἰκονομῶ, οἰκονόμησα. οἰκοζωφῶ, οἰκοζώφησα. Ἔνιοι δὲ καὶ τὸ οἰδαίνω, καὶ οἰκουρῶ, ἐσημειώσαντο.

Περὶ τῆς Αὐξήσεως τῶν Συνθέτων Ῥημάτων.

§. σογ. Τούτων οὕτως ἐχόντων, δεῖ εἰδέναι, ὅτι ὅτε αἱ προθέσεις οὐδὲν πλέον τοῦ Ῥήματος σημαίνουσιν ἐν τῇ συνθέσει, γίνεται ἡ συνηθης αὔξησις ἐν τῇ ἀρχῇ τοῦ Ῥήματος πρὸ τῆς Προθέσεως. οἷον, ἐνέπω, ἤνεπον. καθεύδω, ἐκάθευδον. καθαίρω, ἐκάθαιρον. ὅτε δὲ πλέον αὐτοῦ σημαίνουσι. γίνεται ἡ αὔξησις μετὰ τὴν Πρόθεσιν ἐν ἀρχῇ τοῦ Ῥήματος. οἷον, παρακούω, παρήκουον. ἐπονύω, ἐπώνυον. ἐπαινῶ, ἐπήνουν. καταγράφω, κατεγράφον. ἐπιστέλλω, ἐπέστελλον. Ἐν τούτοις γὰρ εἰσερχομένης τῆς αὐξήσεως, ἀποβάλλεται τὸ φωνῆεν τῆς προθέσεως.

§. σοδ. Τὰ δὲ ἀρχόμενα ἀπὸ Προθέσεων, ει

Ἀτ-

Ἀττικῶ, ἔξωθεν ποιοῦσι τὴν αὔξησιν· οἷον, ἀντιβολῶ, ἠντιβόλουν· ἀμφισβητῶ, ἠμφισβήτουν. τὸ δὲ ἐνοχλῶ, ἠνώχλουν· καὶ ἀνορθῶ ἠνώρθουν. καὶ ἀνέχομαι, ἠνεσχόμην. καὶ παροινῶ, ἐπαρῴνουν, καὶ πεπαρῴνηκα, καὶ διαιτῶ, δεδιήτημαι· διπλῆν τὴν αὔξησιν ποιοῦσιν.

§. σοά. Ἔτι ἔνια τὰ ἀπὸ τοῦ δυς, καὶ ευ, ἀρχόμενα, ἔσωθεν ἀξάνουσιν· οἷον, δυσαπιῶ, δυσπιῶ, δυσαρεσῶ, δυσπρέσουν. εὐρκῶ, εὐώρκουν. εὐεργετῶ, εὐηργέτουν. εὐαγγελίζομαι, εὐηγγελιζόμην.

Περὶ Παρακειμένου, καὶ πότε ἀναδιπλασιάζεται.

§. σος. Ὅτε δὲ ὁ Παρατατικὸς ἄρχεται ἀπὸ μακρᾶς φύσει, ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ Παρακείμενος· οἷον, ἠγόραζον, ἠγόρακα. ἔφθειρον, ἔφθαρκα, ἔσπειρον, ἔσπαρκα.

§. σοζ. Ὅτε δὲ ἄρχεται ὁ Παρατατικὸς ἀπὸ βραχείας, ἢ κοινῆς, ἀναδιπλασιάζεται ὁ Παρακείμενος διὰ τοῦ συμφώνου τοῦ Ἐνεστῶτος· οἷον, ἔτυπτον, τέτυφα. ἔλεγον, λέλεχα. ἔλειβον, λέλειφα. ἔγραφον, γέγραφα. ἔγλυφον, γέγλυφα. ἔπλυνον, πέπλυκα. Πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ γνω, καὶ γρη· [illegible], γνωρίζω, ἐγνώριζον, ἐγνώρικα. γρηγορέω, ὦ ἐγρηγόρηκα. διὰ γὰρ κακοφωνίας οὐκ ἀναδιπλασιάζονται. Καὶ τῶν ἀρχομένων ἀπὸ ρ· οἷον, ῥητορεύω, ἐῤῥητόρευκα. τὰ δὲ ῥερυπωμένα, καὶ ἄλλα, Ποιητικά.

§. σοή. Σεσημείωται δὲ καὶ τὸ πέπταμαι, πέπτωκα,

πτωκα, κέκτημαι, μέμνημαι. εἰ γὰρ καὶ οὐκ ἔχουσιν ἄφωνον πρὸ ἀμεταβόλου, πλὴν ποιοῦσι κοινὴν συλλαβήν.

§. σοθ. Τὰ δὲ ἀπὸ Δασέων, θ, φ, χ, ἀρχόμενα, ἀναδιπλασιάζονται μὲν, τρέπονται δὲ τὰ δασέα, εἰς ψιλά. ὧν τὸ θ, εἰς τ, τρέπεται· οἷον, θωρέω, ὦ. τεθεώρηκα. τὸ φ. εἰς π· οἷον, φωνέω, ὦ, πεφώνηκα. τὸ χ, εἰς κ· οἷον, χωνεύω, κεχώνευκα,

Περὶ Ἀττικῶν Παρακειμένων.

§. σπ. Ὅτε δὲ τὸ Ῥῆμα ἄρχεται ἀπὸ τοῦ λ· ἢ μ, οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον Παρακείμενον, ἐκβολῇ τοῦ πρώτου λ, καὶ μ, καὶ πλεονασμῷ τοῦ ι· οἷον, λήβω, λήψω, λέληφα κοινῶς, καὶ εἴληφα Ἀττικῶς. λήγω, λήξω, λέληχα, καὶ εἴληχα. μείρομαι, μεροῦμαι, μέμαρμαι, καὶ εἵμαρμαι. ὅθεν εἱμαρμένη.

§. σπά. Ἔτι δὲ ὅτε τὸ Ῥῆμα ἄρχεται ἀπὸ τῶν μεταβολικῶν φωνηέντων α, ε, ο, οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον, ἐνεργητικὸν, καὶ παθητικὸν, καὶ μέσον, τὰ ἀρκτικὰ δύο γράμματα τοῦ ἐνεστῶτος προσιθέντος τῷ κοινῷ παρακειμένῳ, καὶ τὴν τρίτην συλλαβὴν συσέλλοντες τοῦ τετρασυλλάβου, εἰμακρὰ εἰς· οἷον, ἀκούω, ἤκουκα Κοινῶς, καὶ ἀκήκοα Ἀττικῶς. ἀλείφω, ἤλειφα Κοινῶς, καὶ ἀλήλιφα Ἀττικῶς. ἐλεύθω, ἤλευθα Κοινῶς, καὶ ἐλήλυθα Ἀττικῶς μέσος Παρακείμενος. ἐνέγκω, ἤνεγκα, καὶ ἐνήνοχα. ὀμῶ, ὤμοκα, καὶ ὀμώμοκα. ὀλέω, ὦ. ὤλεκα, καὶ ὀλώλεκα. Ὀρύσσω, ὤρυχα, καὶ ὀρώρυχα. ὀλ[illegible]λω,

λω, ὅλα μέσος Παρακείμενος, καὶ Ἀττικῶς ὅλωλα. ὁμοίως καὶ ἐν τοῖς Παθητικοῖς· οἷον, ἧλειμμαι, ἀλήλιμμαι. ἤρεισμαι, ἐρήρισμαι.

§. σπβ'. Ἐν ἐνίοις δὲ μόνον προσιθέασιν ε· οἷον, ωσμαι, ἔωσμαι, ὤνημαι, ἐώνημαι. ὠνούμην, ἐωνούμην. ὦρακα, ἑώρακα. ὧρων, ἑώρων. ἀνῴγα, ἀνέωγα. τὸ δὲ ξυνέηκε, καὶ ἔειπε, Ποιητικά. εὕρηται δὲ καί τινα, ὧν ἡ τρίτη συλλαβὴ οὐ συσέλλεται· οἷον, ἀλήλειμμαι, ἐρήρεικα, ἀπὸ τοῦ ἐρείδω. καὶ ὤρηκα, ὁρώρηκα, ἀπὸ τοῦ ὁρῶ.

Περὶ Σχηματισμοῦ τῶν χρόνων.

Παρατατικός.

§. σπγ'. Ἀπὸ τοῦ τύπτω, ὁ Παρατατικὸς ἔτυπτον, τροπῇ ω, εἰς ον, προσιθεμένου τοῦ ε, τῆς αὐξήσεως· ἢ ἀπὸ τοῦ τύπτοντος, ἐκβολῇ τοῦ τος. φυλάττει δὲ πάντα τὰ τοῦ Ἐνεστῶτος.

Παρακείμενος.

§. σπδ'. Ὁ Παρακείμενος ἀπὸ τοῦ Μέλλοντος, τροπῇ τοῦ ω εἰς α· καὶ τοῦ ψ, εἰς φ· Ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν τῷ Μέλλοντι· οἷον, τύψω. τέτυφα, γράψω, γέγραφα. ποιήσω, πεποίηκα. δώσω, δέδωκα.

§. σπε'. Πλὴν τῶν δισυλλάβων Ῥημάτων τῆς πέμπτης Συζυγίας τὸ ε. παραληγόντων. ταῦτα γὰρ τὸ ε τοῦ Μέλλοντος εἰς α, τρέπουσιν ἐν τῷ Παρακειμένῳ· οἷον [illegible] κερῶ, κέκαρκα. σπείρω, σπερῶ, ἔσπαρκα. σέλλω, σελῶ, ἔσαλκα. κτείνω, κτενῶ, ἔκτακα.

§. σπς'. Καὶ χωρὶς τῶν δισυλλάβων τῆς πρώτης, καὶ δευτέρας Συζυγίας τῶν Βαρυτόνων. ταῦτα γὰρ τρέπουσι τὸ ε, εἰς ο, ἔθει Ἀττικῷ· οἷον, λέγω, λέξω, λέλεχα Κοινῶς, καὶ λέλοχα Ἀττικῶς. πλέκω, πλέξω, πέπλεχα Κοινῶς, καὶ πέπλοχα Ἀττικῶς. πέμπω, πέμψω, πέπεμφα Κοινῶς, καὶ πέπομφα Ἀττικῶς. βρέχω, βρέξω, βέβρεχα Κοινῶς. καὶ βέβροχα Ἀττικῶς.

§. σπζ'. Πᾶς δὲ Παρακείμενος εἰς κα, μακρᾷ παραλήγων, εἰ ἀποβάλλῃ τὸ κ, συσέλλει τὴν παραλήγουσαν, ἔθει Ἰωνικῷ· οἷον, ἕσηκα, ἕσαα. βέβηκα, βέβαα. τεθνηκα, τέθναα. δέδεικα, δέδια. γέγηκα, γέγαα.

Μέσος Παρακείμενος.

§. σπη'. Ὁ Μέσος Παρακείμενος, τέτυπα. περὶ οὗ ἰσέον, ὅτι ὅτε ὁ Ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ Μέσος Παρακείμενος· οἷον, λέγω, λέλεχα. πείθω, πέποιθα. λείπω, λέλοιπα.

§. σπθ'. Ὅτε δὲ ὁ Ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται, τότε ὁ Μέσος Παρακείμενος φυλάττει τὸ σύμφωνον τοῦ ῥηματικοῦ. ὅπερ ἀπὸ τοῦ Ἐνεστῶτος παράγεται· οἷον, ἀπὸ τοῦ κλέπτω, κλοπὴ τὸ ῥηματικὸν, ὁ Μέσος Παρακείμενος, κέκλοπα· ἀπὸ τοῦ τύπτω, τύπος, ὁ Μέσος Παρακείμενος, τέτυφα.

ἀπὸ

ἀπὸ τοῦ βλάπτω, ἔλαβη, βέβλαβα ὁ Μέσος Παρακείμενος.

§. σμ΄. Εἰ δὲ τὸ ῥηματικὸν δύο σύμφωνα ἔχει ἐκ τοῦ Ἐνεχθῶτος, φυλάττει αὐτὰ καὶ ὁ Μέσος Παρακείμενος· οἷον, ἀπὸ τοῦ ῥέγκω, ῥόγκος, ὁ Μέσος Παρακείμενος, ἔῤῥογκα.

§. σμά. Ὅτα δὲ ὁ Ἐνεχθὼς λήγων εἰς ζ, ἢ εἰς δύο σσ, οἷς ξ, τὸν μέλλοντα ποιεῖ, τότε ὁ Μέσος Παρακείμενος τὸ γ, ἔχει· οἷον, κράζω, κράξω, κέκραγα. πλήσσω, πλήξω, πέπληγα. Ὅτα δὲ ὁ Ἐνεχθὼς εἰς ζω λήγων, εἰς σ, τὸν Μέλλοντα ποιεῖ, τὸ δ, ὁ Μέσος Παρακείμενος ἔχει· οἷον, φράζω, φράσω, πέφραδα.

§. σμβ΄. Ὅτε δὲ ὁ Ἐνεχθὼς καθαρῶς προφέρεται, καὶ ὁ Μέσος Παρακείμενος ὁμοίως· οἷον, ἀκούω, ἤκοα, Κοινῶς, καὶ ἀκήκοα Ἀττικῶς.

§. σμγ΄. Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ Μέσος Παρακείμενος τῷ πρώτῳ Παρακειμένῳ· οἷον, τέτυφα, τέτυπα. πέπληχα, πέπληγα. νένηκα, νένηθα.

§. σμδ΄. Ὅτε δὲ εὑρεθῇ ε, ἐν δισυλλάβῳ Μέλλοντι, εἰμὲν μόνον, τρέπεται εἰς ο, ἐν τῷ μέσῳ Παρακειμένου· οἷον, λέξω, λέλογα. τέξω, τέτοκα. γενῶ, γέγονα. σπερῶ, ἔσπορα. φθερῶ, ἔφθορα. εἰ δὲ μετὰ τοῦ ι, ἐν διφθόγγῳ εἰ, ὁμοίως τὸ ε, τρέπεται εἰς ο, καὶ τὸ ι, προσγράφεται· οἷον, πείθω, πέποιθα. εἰδω, οἶδα, οἶκα, οἶδα, εἴκω, οἶκα, καὶ Ἀττικῶς ἔοικα.

Τὰ

Τὰ δὲ δισύλλαβα εἰς ὲν λ, τηροῦσι τὸ ε, καὶ ἐν τῷ Μέσῳ Παρακειμένῳ· οἷον, μέλω, μελῶ, μέμελα, καὶ μέμηλα τροπῇ τοῦ ε, εἰς η. ὅθεν μεμηλώς.

§. σμε΄. Ὅτε δὲ ὁ Ἐνεχθὼς διὰ δύο ἀμεταβόλων ἐκφέρεται, τότε ὁ μέσος Παρακείμενος τὸ α, ἀμετάβολον ἔχει· οἷον, κάμνω, κέκαμα. τέμνω, τέταμα.

§. σμς΄. Ὅτε δὲ ὁ Ἐνεχθὼς τῇ αι διφθόγγῳ παραλήγει, τρέπεται τὸ α, εἰς η, ἐν τῷ μέσῳ παρακειμένῳ, καὶ τὸ ι, ὑπογράφεται· οἷον, φαίνω, πέφηνα. χαίνω, κέχηνα. μαίνω, μέμηνα. δαίω, δέδηα.

§. σμζ΄. Ὅτα δὲ ὁ μέλλων περιττοσυλλαβεῖ τοῦ Ἐνεχθῶτος, τότε ὁ Παρακείμενος τοῦ μέσου Παρακειμένου· οἷον, δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα. κτυπῶ, κτυπήσω, ἐκτύπηκα, ἔκτυπα. ἀνωγῶ, ἀνωγήσω, ἠνώγηκα, ἤνωγα.

§. σμή. Ἔτι πολλάκις οἱ αὐτοί εἰσι πρῶτοι Παρακείμενοι, καὶ Μέσοι· οἷον, γέγραφα, ἤλειφα.

Ὑπερσυντελικός.

§. σμθ΄. Ὁ Ὑπερσυντελικὸς ἀπὸ τοῦ Παρακειμένου, τροπῇ τοῦ ε, τῆς αὐξήσεως· οἷον, τέτυφα, ἐτετύφειν. τέτυπα, ἐτετύπειν. φυλάττει τὰ πάντα τὰ τοῦ Παρακειμένου.

Ἀόριστος Πρῶτος.

§. τ΄. Ὁ πρῶτος Ἀόριστος ἀπὸ τοῦ πρώτου Μέλλοντος, τροπῇ τοῦ ω, εἰς α· οἷον, τύψω, ἔτυψα. Ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν τῷ μέλλοντι.

τα.

§. τα'. Φυλάττει δὲ ἀεὶ ὁ Ἀόριστος τὸ σύμφωνον τοῦ Μέλλοντος· οἷον. λέξω, ἔλεξα. ποιήσω, ἐποίησα. Σεσημείωται τὸ ἔδωκα, ἔθηκα, ἤνεγκα, ἧκα, εἶπα, ἔξω τοῦ κανόνος.

§. τβ'. Σημειώσῃ δὲ καὶ τοὺς τῆς πέμπτης Συζυγίας Ἀορίστους πρώτους, φύσει μακρᾷ παραλήγοντας· ὅτε γὰρ ὁ Μέλλων αὐτῶν περισπώμενος ἔχει ε, ὁ Ἀόριστος προσλαμβάνει ι· οἷον, νεμῶ, ἔνειμα σπερῶ, ἔσπειρα. σελῶ, ἔσειλα.

§. τγ'. Ὅτε δὲ τὸ α, μόνον ἔχει ὁ Μέλλων, τρέπει αὐτὸ εἰς η ὁ Ἀόριστος· οἷον, ψαλῶ, ἔψηλα. ἀγαλῶ, ἤγηλα. Ὅτε δὲ τὸ α, ἀπὸ τῆς αι, διφθόγγου, ὁμοίως τρέπει αὐτὸ εἰς η, ἢ φυλάττει αὐτὸ μακρόν· οἷον, φαίνω, φανῶ, ἔφηνα. χαίνω, χανῶ, ἔχηνα. σημαίνω, σημανῶ, ἐσήμηνα, καὶ ἐσήμανα. καὶ ἐθέμανα, καὶ ἐχλίανα, τοῦ α, μακροῦ ὄντος.

Ἀόριστος Δεύτερος.

§. τδ'. Ὁ Δεύτερος Ἀόριστος εἰς ον λήγει. φυλάττει δὲ ἀεὶ τὸ σύμφωνον τοῦ μέσου Παρακειμένου.

§. τε'. Ἔτι ὁ Δεύτερος Ἀόριστος ἀπὸ βαρυτόνου Θέματος γινόμενος, ἰσοσυλλαβεῖ τῷ Πρώτῳ· οἷον, [illegible] ἔτυπον. ἤκουσα, ἤκουον. Ἀπὸ δὲ περισπωμένου γινόμενος, ἐλαττοῦται· οἷον, δουπῶ, ἐδούπησα, ἔδουπον. μυκῶ, ἐμύκησα, ἔμυκον. χραισμῶ, ἐχραίσμησα, ἔχραισμον. ὀλισθῶ, ὠλίσθησα, ὤλισθον. κτυπῶ, ἐκτύπησα, ἔκτυπον. ἀνωγῶ, ἠνώγησα, ἤνωγον.

§. τς'.

§. τς'. Ἔτι ὁ Δεύτερος Ἀόριστος δισύλλαβος, καὶ ὑπερδισύλλαβος, εἴτε ἀπὸ βαρυτόνου, εἴτε περισπωμένου θέματος γίνεται, βραχυπαραληκτεῖ, Διχρόνῳ παραλήγων. καὶ εἰμὲν ἐσὶν ε, Δίφθογγος ἐν τῷ Ἐνεσῶτι, ἀποβάλλεται τὸ ε, αὐτῆς ἐν τῷ. Δευτέρῳ· οἷον, φεύγω, ἔφυγον. τεύχω, ἔτυχον. ἐλεύθω, ἦλυθον. Εἰ δὲ αυ, τὸ υ· οἷον, παύω, ἔπαυον. Ὁμοίως εἰ ἐσὶν ει, ἀποβάλλεται τὸ ε· οἷον, λείπω, ἔλιπον· πείθω, ἔπιθον. ὀφείλω, ὤφιλον. Ἔτι εἰ ἐσὶν αι, ἀποβάλλεται τὸ ι· οἷον, φαίνω, ἔφανον. καίω, ἔκαον. δαίω, ἔδαον. Εἰ δὲ ἐσὶν η, τρέπεται εἰς α· οἷον, λήβω, ἔλαβον. πήθω, ἔπαθον. λήχω, ἔλαχον. φήγω, ἔφαγον. δήκω, ἔδακον.

§. τζ'. Ὅτε δὲ ἐν δισυλλάβοις Ἐνεσῶσιν εὑρεθῇ τὸ ε, ἢ μόνον, ἢ μετὰ τοῦ ι, ἀμεταβόλου προηγουμένου, ἢ ἐπιφερομένου, ὡς ἐπὶ τὸ πλεῖσον τρέπεται τὸ ε, εἰς α, ἐν τῷ δευτέρῳ Ἀορίστῳ· οἷον, σέλλω, ἔσαλον, τέμνω, ἔταμον. δέρω, ἔδαρον. πέρθω, ἔπαρθον, καὶ ἔπραθον. δέρκω, ἔδαρκον, καὶ ἔδρακον. κλέπτω, ἔκλαπον. πλέκω, ἔπλακον. τρέφω, ἔτραφον. βρέχω, ἔβραχον. κείρω, ἔκαρον. φθείρω, ἔφθαρον, σπείρω, ἔσπαρον.

§. τή. Τούτων οὕτως ἐχόντων εὑρηνται Ἀόριστοι Δεύτεροι ἀπὸ περισπωμένων μακροπαραληκτοῦντες· οἷον, χραισμῶ, ἔχραισμον. ὀλισθῶ, ὄλισθον. βλαστῶ, ἔβλασον. ἀλαλκῶ, ἤλαλκον. ἁμαρτῶ, ἥμαρτον· δουπῶ, ἔδουπον. ἀνωγῶ, ἤνωγον. Καὶ ἔτι ἀπὸ

ἀπὸ βαρυτόνων· οἷον, εἶπον, εἶλον, εἶλκον, εἶδον, ἦκον, εὗρον, ἦλθον, ἦγον, ἤνεγκον. ἔπληγον σωματικῶς, ἔπλαγον δὲ ψυχικῶς, ἔπεφνον.

Μέλλων Πρῶτος.

§. τθ'. Ὁ Μέλλων Πρῶτος γίνεται ἀπὸ τοῦ Ἐνεργῶτος, καὶ συνάρχεται αὐτῷ· οἷον, γράφω, γράψω. λέγω, λέξω. τὰς αὐτὰς συλλαβὰς ἔχων.

§. ρμ. Τὰ δὲ εἰς ἐν λ, λήγοντα βαρύτονα, περιττεύοντα μέλλοντα ποιοῦσιν· οἷον, μένω, μενῶ, θέλω, θελήσω. ὀφείλω, ὀφειλήσω. Ἔτι τὸ αὔξω, αὐξήσω ποιεῖ. καὶ ἔψω, ἐψήσω. καὶ ἀλέξω, ἀλεξήσω. ὅτι παρὰ τοῖς Παλαιοῖς Περισπώμενα ὄντα, οἱ Ἀθηναῖοι βαρύτονα πεποιήκασι. φυλάττουσι μέντοι τὴν τῶν Περισπωμένων Κλίσιν.

§. ρμα'. Ἔτι πάντα τὰ περισπώμενα· οἷον, ποιῶ, ποιήσω. βοῶ, βοήσω. χρυσῶ, χρυσώσω. Τὰ εἰς μι δὲ τοὐναντίον πάσχοντα, ἀποβάλλουσι τὴν κατ' ἀρχὴν ἀναδίπλωσιν ἐν τῷ Μέλλοντι· οἷον, ἵστημι, στήσω. δίδωμι, δώσω.

§. ρμβ'. Φυλάττει δὲ ὁ Μέλλων τὴν παραλήγουσαν τοῦ ἰδίου Ἐνεργῶτος· οἷον, γράφω, γράψω. λείπω, λείψω. Πλὴν τῶν τῆς πέμπτης Συζυγίας τῶν βαρυτόνων. ταύτης γὰρ οἱ Μέλλοντες ἀποβάλλουσιν ἐν ἀμεταβόλον, ἢ τὸ ι, τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν αὐτῶν βραχεῖαν ποιήσωσιν· οἷον, ψάλλω, ψαλῶ. βάλλω, βαλῶ. φαίνω, φανῶ. σπείρω, σπερῶ.

§. ρμγ'. Καὶ πλὴν τῶν σεσημειωμένων· οἷον, πλέω, πλεύσω. ῥέω, ῥεύσω. χέω, χεύσω. πνέω, πνεύσω. οἱ γὰρ τούτων Μέλλοντες προσλαμβάνουσιν υ ἀπὸ ἀρχαίων Ἐνεργῶτων γινόμενοι· πλεύω, ῥεύω, χεύω, πνεύω. Ἔτι καὶ τὸ καίω, καύσω. καὶ τὸ κλαίω, κλαύσω, ποιεῖ.

§. ρμδ'. Ἔτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰς ζω, βαρυτόνων ὑπερδισυλλάβων, βραχὺ τὸ ι ἐχόντων, ἀποβολῇ τοῦ σ, περισπώμενον Μέλλοντα ποιοῦσιν· οἷον νομίζω, νομίσω Κοινῶς, καὶ νομῶ Ἀττικῶς. κομίζω, κομίσω Κοινῶς, καὶ κομῶ Ἀττικῶς. ἀγωνίζομαι, ἀγωνίσομαι, ἀγωνιοῦμαι.

Μέλλων Δεύτερος.

§. ρμε'. Ὁ Μέλλων Δεύτερος τυπῶ, Περισπώμενος, ἀπὸ τοῦ Δευτέρου Ἀορίστου· ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ φαὶ φυλάττει. συνάρχεται δὲ τῷ Πρώτῳ Μέλλοντι.

Περὶ Σχηματισμοῦ τῶν Παθητικῶν.

Παθητ. Ἐνεστώς.

§. ρμς'. Ὁ Παθητικὸς Ἐνεστὼς, τύπτομαι, ἀπὸ τοῦ τύπτω, τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν, καὶ προσθέσει τοῦ μαι.

Παθητικ. Παρατατικός.

§. ρζ'. Ὁ Παρατατικὸς ἀπὸ τοῦ Ἐνεργητικοῦ Παρατατικοῦ, παρενθέσει τοῦ μη ἐτυπτόμην. τίθεται δὲ τοῖς ἀρχομένοις ἀπὸ συμφώνων ἡ ε, αὔξησις. οἱ Ἀττικοὶ δὲ αὔξησιν ἐπ' αὐξήσει ποιοῦντες.

οὖντες, ἠβουλόμην, ἀντὶ ἐβουλόμην. καὶ ἠδυνάμην, ἀντὶ ἐδυνάμην. καὶ ἔτι ἤμελλον, ἀντὶ ἔμελλον λέγουσι.

Παθητικ. Παρακείμενος.

§. τιη'. Ὁ Παθητικὸς Παρακείμενος, ἀπὸ τοῦ ἐνεργητικοῦ τροπῇ τοῦ φα, εἰς μαι· οἷον, τέτυφα, τέτυμμαι. ὅτε δὲ ὁ ἐνεργητικὸς πρὸ τοῦ α, φ ἔχει, ὁ Παθητικὸς λήγων ἀεὶ εἰς μαι, πρὸ τοῦ μ, λαμβάνει καὶ ἕτερον μ· οἷον, γέγραφα, γέγραμμαι. τέτυφα, τέτυμμαι.

§. τιθ'. Ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει χ, ὁ Παθητικὸς προσλαμβάνει γ· οἷον, πέπλεχα πέπλεγμαι

§. τκ'. Ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει κ, εἰμὲν μακρᾷ παραλήγει, ἀπὸ περισπωμένου θέματος ὤν, ὁ Παθητικὸς οὐδὲν προσλαμβάνει· οἷον, ποιῶ, πεποίηκα, πεποίημαι. βοῶ, βεβόηκα, βεβόημαι. εἰ δὲ βραχεῖα παραλήγει· ὁ Παθητικὸς προσλαμβάνει σ· οἷον, τελῶ, τετέλεκα, τετέλεσμαι.

§. τκα'. Οἱ δὲ τῆς Τρίτης καὶ Τετάρτης Συζυγίας τῶν βαρυτόνων ἀεὶ προσλαμβάνουσι σ· οἷον, πείθω, πέπεικα, πέπεισμαι. λακτίζω, λελάκτικα, λελάκτισμαι.

§. τκβ'. Οἱ δὲ τῆς Πέμπτης Συζυγίας, ἀπὸ τῶν εἰς λω, καὶ ρω, γινόμενοι, πρὸ τοῦ μ, φυλάττουσι τὸ ἀμεταβολον· οἷον, ψάλλω, ἔψαλμαι. σπείρω, ἔσπαρμαι.

§. τκγ'. Τὰ δὲ εἰς νω, ὡς ἐπὶ τὸ πλεῖστον τρέπουσι τὸ ν, εἰς γ, ἐν τῷ ἐνεργητικῷ Παρακειμένῳ· οἷον, μιαίνω, μεμίαγκα. μολύνω, μεμόλυγκα. τοῦτο δὲ τὸ τραπὲν γ, ἀπὸ τοῦ ν, τρέπεται Κοινῶς εἰς μ, ἐν τῷ Παθητικῷ Παρακειμένῳ· οἷον, μεμίαγκα, μεμίαμμαι, μεμόλυγκα, μεμόλυμμαι. Οἱ δὲ Ἀττικοὶ τὸ μ εἰς σ, τρέποντες, μεμίασμαι, καὶ μεμόλυσμαι λέγουσι.

§. τκδ'. Τῶν δὲ τῆς Ἕκτης Συζυγίας Παρακειμένων, οἱ μὲν προσλαμβάνουσι σ· οἷον, σβέω, ἔσβεσμαι. ξέω, ἔξεσμαι. κελεύω, κεκέλευσμαι. κρούω κέκρουσμαι. οἱ δὲ οὔ· οἷον, βασιλεύω, βεβασίλευμαι.

§. τκε'. Ἀεὶ δὲ ὁ Παθητικὸς Παρακείμενος, ἀπὸ τῶν εἰς ω, γινόμενος, τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ Ἐνεργητικῷ· οἷον, τέτυφα, τέτυμμαι. πεποίηκα, πεποίημαι· πέπεικα, πέπεισμαι.

§. τκς'. Πλὴν τῶν γινομένων ἀπὸ δισυλλάβων, τῆς Πρώτης καὶ Δευτέρας Συζυγίας τῶν βαρυτόνων, οὗτοι γὰρ ἀναλαμβάνουσι τὴν παραλήγουσαν τοῦ Ἐνεστῶτος, ἥτις τρέπεται εἰς ο μικρὸν ἐν τῷ Ἐνεργητικῷ Παρακειμένῳ, ὡς εἴρηται, ἔθει Ἀττικῷ· οἷον, λέγω, λέλοχα. λέλεγμαι. κλέπτω, κέκλοφα, κέκλεμμαι, καὶ κέκλαμμαι εὕρηται.

§. τκζ'. Καὶ ἔτι πλὴν τῶν ἐχόντων τὸ ρ, μετ' ἐπιπλοκῆς συμφώνου· τούτων γὰρ οἱ Παρακείμενοι τρέπουσι τὸ ε, εἰς α· οἷον, σρέφω, ἔσρεφα, ἔσραμμαι. τρέφω, τέθρεφα, τέθραμμαι. τρέπω, τέτρεφα, τέτραμμαι. Σεσημείωται τὸ βρέχω, βέβρεχα, βέβρε-

βραγμαι. καὶ ἔτι δέδωκα, δέδομαι.

Παθητ. Ὑπερσυντελικός.

§. τκή. Ὁ Ὑπερσυντελικὸς ἀπὸ τοῦ Παρακειμένου τροπῇ τοῦ μαι, εἰς μην. Προσλαμβάνει δὲ τὸ ε, αὔξησιν, ὅπερ καὶ ὁ Ἐνεργητικός. φυλάττει δὲ πάντα τὰ τοῦ Παρακειμένου· οἷον, τέτυμμαι, ἐτετύμμην. γέγραμμαι, ἐγεγράμμην.

Παθητ. Ἀόριστος.

§. τκθ. Ὁ Παθητικὸς πρῶτος Ἀόριστος, ἀπὸ τοῦ Παθητικοῦ Παρακειμένου, τροπῇ τοῦ μαι, εἰς θην, λήγων ἀεὶ εἰς θην, Καὶ εἰ μὲν ὁ Παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος, ἢ Διφθόγγου καταχρηστικῆς, συνάρχεται αὐτῷ καὶ ὁ Ἀόριστος· οἷον, ὤπλισμαι, ὡπλίσθην. ᾕρημαι, ᾑρέθην. Εἰ δὲ ἄρχεται ὁ Παρακείμενος ἀπὸ Συμφώνου, ἀποβάλλει ὁ Ἀόριστος τὸ Σύμφωνον τοῦ ἀναδιπλασιασμοῦ· οἷον, πεποίημαι, ἐποιήθην. τέτυμμαι, ἐτύφθην.

§. τλ. Καὶ τὸ εὑρεθὲν Σύμφωνον πρὸ τοῦ μ, τοῦ Παθητικοῦ Παρακειμένου φυλάττει· οἷον, κέκαρμαι, ἐκάρθην· ἔψαλμαι, ἐψάλθην. ἔξεσμαι, ἐξέσθην. Πλὴν εἰμὶ εἴη μ, ἢ γ. Ὅτε γὰρ εὑρεθῇ μ, ἀπὸ τοῦ φ, μεταληθὲν, τρέπει αὐτὸ εἰς τὸ φ· οἷον, τέτυφα, τέτυμμαι, ἐτύφθην. γέγραφα, γέγραμμαι, ἐγράφθην. ὅτε δὲ τὸ γ, ἀπὸ τοῦ χ, μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ χ· οἷον, λέλεχα, λέλεγμαι, ἐλέχθην. τὸ δὲ ἐμολύνθη, καὶ ἐμιάνθην, ἔχει ν, διὰ τὴν ἐπιφορὰν τοῦ θ.

§. τλά.

§. τλά. Τὴν αὐτὴν δὲ παραλήγουσαν ἔχει ὁ Ἀόριστος τῷ Παθητικῷ Παρακειμένῳ· οἷον, τέτυμμαι, ἐτύφθην. πεποίημαι, ἐποιήθην. Πλὴν τοῦ εὕρημαι, εὑρέθην, ὅθεν καὶ εὑρετὴς. καὶ ἐπήνημαι, ἐπηνέθην. καὶ ῥῶ, ἐῤῥήμαι, ἐῤῥέθην. Καὶ τοῦ μέμνημαι, ἐμνήσθην, προσλαμβάνοντες τὸ σ. καὶ σέσωσμαι, ἐσώθην, ἀποβάλλοντος αὐτό· τὸ δὲ ἐῤῥώσθην, οὐκ ἀπὸ τοῦ ῥῶ, ἀλλ' ἀπὸ τοῦ ῥώζω. καὶ πλὴν τοῦ σχῶ, σχήσω, ἔσχηκα, ἔσχημαι, ἐσχέθην. Καὶ τῶν ἀπὸ τοῦ αἱῶ Περισπωμένων· οἷον, καθῄρημαι, καθῃρέθην· ἀφῄρημαι, ἀφῃρέθην.

§. τλβ'. Καὶ πλὴν τῶν ἐχόντων τὸ ρ, μετ' ἐπιπλοκῆς συμφώνου, καὶ τρεπόντων τὸ ε, εἰς α ἐν τῷ παθητικῷ παρακειμένῳ· οἷον, ἔσραμμαι, ἐσράφθην. τέτραμμαι, ἐτράφθην.

Παθητικ. Δεύτερος Ἀόριστος.

§. τλγ'. Ὁ Παθητικὸς Δεύτερος Ἀόριστος, ἀπὸ τοῦ Ἐνεργητικοῦ Δευτέρου Ἀορίστου τροπῇ το ον, εἰς ην. Ὅθεν καὶ τὸ ἑκείνου φυλάττει Σύμφωνον· οἷον, ἔτυπον, ἐτύπην.

Μέσος Ἀόριστος Πρῶτος.

§. τλδ'. Ὁ Μέσος Πρῶτος Ἀόριστος, ἀπὸ τοῦ Ἐνεργητικοῦ Πρώτου, προσθέσει τοῦ μην· οἷον, ἔτυψα, ἐτυψάμην.

Μέσος Ἀόριστος Δεύτερος.

§. τλέ. Ὁ Μέσος Ἀόριστος Δεύτερος, ἀπὸ τοῦ Ἐνεργητικοῦ δευτέρου, παρενθέσει τοῦ μη· οἷον, ἔτυπον, ἐτυπόμην.

Μέσος Μέλλων Πρῶτος.

§. τλς. Ὁ Μέσος Μέλλων πρῶτος, ἀπὸ τοῦ Ἐνεργητικοῦ, τροπῇ τοῦ ωμεγάλου, εἰς ομικρὸν, καὶ προσθέσει τοῦ μαι· οἷον, τύψω, τύψομαι.

Μέσος Μέλλων Δεύτερος.

§. τλζ. Ὁ Μέσος Μέλλων δεύτερος, ἀπὸ τοῦ Ἐνεργητικοῦ δευτέρου Μέλλοντος, τροπῇ τοῦ ω, εἰς ου. καὶ προσθέσει τοῦ μαι· οἷον, τυπῶ, τυποῦμαι. ψαλῶ, ψαλοῦμαι.

Μέλλων α'. καὶ β'.

§. τλή. Ὁ Μέλλων πρῶτος ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ ἀορίστου πρώτου, προσθέσει ομαι. ἐτύφθης, τυφθήσομαι.

Ὁμοίως δὲ καὶ ὁ Μέλλων δεύτερος ἀπὸ τοῦ δευτέρου ἀορίστου. ἐτύπης, τυπήσομαι.

Μετ' Ὀλίγον Μέλλων.

§. τλθ. Ἔτι ὁ Μετ' ὀλίγον Μέλλων, ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ Παθητικοῦ Παρακειμένου, τέτυψαι, τετύψομαι.

ΡΗΜΑΤΩΝ.

ΚΕΦ. Γ.

Περὶ Ἀνωμάλων Ῥημάτων, καὶ περὶ τινων μὴ πάντας ἐχόντων τοὺς χρόνους εὐχρήστους παρὰ τοῖς Πεζογράφοις. Καὶ πρῶτον περὶ τοῦ εἶμι, καὶ ἴημι, καὶ ἵημι.

§. τμ. ΕΙΜΙ, ΤΟ ΠΟΡΕΥΟΜΑΙ.

Ὁριστικά.

Ἐνεσῶς·	Εἶμι, εἶς, καὶ εἶ, εἶσι.
	Ἴτον, ἴτον.
	Ἴμεν, ἴτε, ἴσι, καὶ ἴασι.
Παρατατ.	Εἶν, εἶς, εἶ.
	Ἴτον, ἴτην.
	Ἴμεν, ἦτε, ἴσαν, καὶ ἴασαν.
Παρακείμ.	Εἶκα, εἶκας, εἶκε.
	Εἴκατον, εἰκατον.
	Εἴκαμεν, εἴκατε, εἴκασι.
Μέσ. Παρακ.	Εἶα, εἶας, εἶε.
	Εἴατον, εἴατον.
	Εἴαμεν, εἴατε, εἴασι.
Καὶ τροπῇ.	Ἧα, ἧας, ἧε.
	Ἧατον, ἧατον.
	Ἧαμεν, ἧατε, ἧασι.
Καὶ διαλύσ.	Ἧϊα, ἧϊας, ἧϊε.
Τ' περσυντ.	Εἴκειν, εἴκεις, εἴκει.
Καὶ Μέσος.	Ἧειν, ἧεις, ἧει.

Ἀόριστος β'. Ἴον, ἴες, ἴε.
Ἴετον, ἰέτην.
Ἴεμεν, ἴετε, ἴεσαν.
Οἱ δὲ ἄλλοι χρόνοι οὐκ ἐν χρήσει.

Προστακτικά.

Ἐνεστὼς. Ἴθι, καὶ εἶ, εἴτω.
Ἴτον, ἴτων.
Ἴτε, ἴτωσαν.
Ἀόριστος β'. Ἶε, ἰέτω. Ἴετον, ἰέτων.
Ἴετε, ἰέτωσαν.

Εὐκτικά.

Ἐνεστὼς. Εἴην, εἴης, εἴη.
Εἴητον, εἰήτην.
Εἴημεν, εἴητε, εἴησαν.
Ἀόριστος β'. Ἴοιμι, ἴοις, οἴοι. ἴοιτον, ἰοίτην.
Ἴοιμεν, ἴοιτε, ἴοιεν.

Ὑποτακτικά.

Ἐνεστὼς. Ἐὰν ὦ, ἧς, ἧ.
Ἀόρις. β'. Ἐὰν ἴω, ἴῃς, ἴῃ.

Ἀπαρέμφατον.

Ἐνεστὼς. Εἶναι.

Μετοχαί.

Ἐνεστὼς. Ὁ ἰὼν, ἡ ἰοῦσα, τὸ ἰόν.
καὶ θηλυκὸν Ἐπίρρημα. Ἰτέον.

Σ. τμά.

Σ. τμά. Ἴημι δασυόμενον, τὸ πέμπω.

Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστὼς. Ἵημι, ἵης, ἵησι.
Ἵετον, ἵετον.
Ἵεμεν, εἶτε, ἱεῖσι Κοινῶς, καὶ ἵᾶσι.
Ἀττικῶς, καὶ ἑᾶσι Ποιητικῶς.
Παρατατ. Ἵην, ἵης, ἵη.
Ἵετον, ἱέτην.
Ἵεμεν, ἵετε, ἵεσαν.
Παρακείμ. Εἷκα, εἷκας, εἷκε.
Εἵκατον, εἵκατον.
Εἵκαμεν, εἵκατε, εἵκασι.
Ὑπερσυντ. Εἵκειν, εἵκεις, εἵκει.
Ἀόριστος α'. Ἧκα, ἧκας, ἧκε.
καὶ Ποιητικ. Ἔηκα, ἔηκας, ἔηκε.
Ἀόριστος β'. Ἧν, ἧς, ἧ.
Ἔτον, ἔτον.
Ἔμεν, ἔτε, ἔσαν.
Μέλλων α'. Ἥσω, ἥσεις, ἥσει.

Προστακτικὰ Ἐνεργητικά.

Ἐνεστὼς. Ἶεθι, ἱέτω.
Ἵετον, ἱέτων.
Ἵετε, ἱέτωσαν.
Παρακείμ. Εἷκε, εἱκέτω.
Εἵκετον, εἱκέτων.
Εἵκετε, εἱκέτωσαν.

Ἀόρ

Α'όριστος β'. Ἔς, ἔτω.
Ἕτον, ἔτων.
Ἕτε, ἔτωσαν.

Εὐκτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Ἰείην, εἴσης, εἴη,
Ἰείητον, εἰσήτην.
Ἰείημεν, εἴητε, εἴησαν.
Παρακείμ. Εἴκοιμι, εἴκοις, εἴκοι.
Αόριστος β'. Εἴην, εἴης, εἴη.
Εἴητον, εἰήτην.
Εἴημεν, εἴητε, εἴησαν, καὶ εἶεν.
Μέλλων ά. Ἥσοιμι, ἥσοις, ἥσοι.

Ὑποτακτικὰ Ἐνεργητικά.

Ἐνεστώς. Ἐὰν ἰῶ, ἰῇς, ἰῇ.
Ἐὰν ἰῆτον, ἰῆτον.
Ἐὰν ἰῶμεν, ἰῆτε, ἰῶσι.
Παρακείμ. Ἐὰν εἴκω, εἴκῃς, εἴκῃ.
Αόριστος β'. Ἐὰν ὦ, ἧς, ἧ.
Ἐὰν ἧτον ἧτον.
Ἐὰν ὦμεν, ἦτε, ὦσι.

Ἀπαρέμφατα Ἐνεργητικά.

Ἐνεστώς. Ἰέναι.
Παρακείμ. Εἰκέναι.
Αόριστος β'. Εἶναι.
Μέλλων ά. Ἥσειν.

Μετοχαὶ Ἐνεργητικαί.

Ἐνεστώς. Ὁ ἰείς, ἡ ἰεῖσα, τὸ ἰέν.
Παρακείμ. Ὁ Εἰκὼς, ἡ εἰκυῖα, τὸ εἰκός.
Αόριστος β'. Ὁ Εἷς, ἡ εἶσα, τὸ ἕν.

Ὁριστικὰ Παθητικά.

Ἐνεστώς. Ἵεμαι, ἵεσαι. ἵεται.
Ἱέμεθον, ἵεσθον, ἵεσθον.
Ἱέμεθα, ἵεσθε, ἵενται.
Παραταττ. Ἱέμην, ἵεσο, ἵετο.
Ἱέμεθον, ἵεσθον, ἵέσθην.
Ἱέμεθα, ἵεσθαι, ἵεντο.
Παρακείμ. Εἷμαι, εἶσαι, εἷται,
Εἵμεθον, εἶσθον, εἶσθον.
Εἵμεθα, εἶσθε, εἷνται.
Μετ' ὀλ. Μέλ. Εἴσομαι, εἴσῃ, εἴσεται.
Ὑπερσυντ. Εἵμην, εἶσο, εἷτο.
Εἵμεθον, εἶσθον, εἵσθην.
Εἵμεθα, εἶσθε, εἷνται.
Αόριστος ά. Ἕθην, ἕθης, ἕθη.
Ἕθητον, ἑθήτην.
Ἕθημεν, ἕθητε, ἕθησαν.
καὶ Εἵθην, εἵθης, εἵθη. Ὧν ἀφέθην,
καὶ ἀφείθην, ης, η.
Μέλλων ά. Ἑθήσομαι, ἑθήσῃ, ἑθήσεται.
Μέσ. Ἀόρ. ά. Ἡκάμην, ἥκασο, καὶ ἧκο, ἥκατο.
Ἡκάμεθον, ἥκασθον, ἡκάσθην.

Ἡκάμεθα, ἧκασθε, ἧκαντο.

Μέσ. Ἀόρ. β'. Ἐμην, ἔσο, ἔτο.
Ἐμεθον, ἔσθον, ἔσθην.
Ἐμεθα, ἔσθε, ἔντο.

Μέσ. Μέλ. Ἑσομαι, ἧσῃ, ἧσεται.

Προστακτικὰ Παθητικά.

Ἐνεσῶς. Ἴεσο, καὶ ἶσου, ἑέσθω.
Ἴεσθον, ἑέσθων.
Ἴεσθε, ἑέσθωσαν.

Παρακείμ. Εἶσο, εἴσθω.
Εἶσον, εἴσθων.
Εἶσθε, εἴσθωσαν, καὶ εἶσθων.

Ἀόρισος ά. Ἕθητι, ἑθήτω.
Ἕθητον, ἑθήτων.
Ἕθητε ἑθήτωσαν.

Μέσ. Ἀόρ. ά. Ἧκε ἡκάσθω.
Ἧκασθον, ἡκάσθων.
Ἧκασθε, ἡκάσθωσαν.

Μέσ. Ἀόρ. β'. Ἔσο καὶ οὗ, ἔσθω.
Ἔσθον, ἔσθων.
Ἔσθε, ἔσθωσαν.

Εὐκτικὰ Παθητικά.

Ἐνεσῶς. Ἑείμην, ἑεῖο, ἑεῖτο.
Ἑείμεθον, ἑεῖσθον, ἑεῖσθην.
Ἑείμεθα, ἑεῖσθε, ἑεῖντο.

Παρακείμ. Εἴμην, εἶο, εἶτο.

Εἴμεθον, εἶσθον, εἶσθην.
Εἴμεθα, εἶσθε εἶντο.

Μετ' ὀλ. Μέλ. Ἑισοίμην, εἶσοιο, εἶσοιτο.

Ἀόρισος ά. Ἐθείην, ἐθείης, ἐθείη.

Μέλλων ά. Ἐθησοίμην, ἐθήσοιο, ἐθήσοιτο.

Μέσ. Μέλ. Ἧσοίμην, ἧσοιο, ἧσοιτο.

Ὑποτακτικὰ Παθητικά.

Ἐνεσῶς. Ἐὰν ἑῶμαι, ἑῇ, ἑῆται.
Ἐὰν ἑώμεθον, ἑῆσθον, ἑῆσθον.
Ἐὰν, ἑώμεθα, ἑῆσθαι, ἑῶνται.

Παρακείμ. Ἐὰν εἶῶμαι, εἶῇ, εἶῆται.

Ἀόριστος ά. Ἐὰν ἐθῶ, ἐθῇς, ἐθῇ.

Μέσ. Ἀόρ. ά. Ἐὰν ἧκωμαι. ἧκῃ, ἧκηται.

Μέσ. Ἀόρ. β'. Ἐὰν ὦμαι, ἧ, ἧται.

Ἀπαρέμφατα Παθητικά.

Ἐνεσῶς. Ἴεσθαι.

Παρακείμενος. Εἶσθαι.

Μετ' ὀλίγ. Μέλ. Εἵσεσθαι.

Ἀόριστος ά. Ἑεθῆναι.

Μέλλων ά. Ἐθήσεσθαι.

Μέσος Ἀόρ. ά. Ἧκασθαι.

Μέσ. Ἀόρ. β'. Ἔσθαι.

Μέσ. Μέλ. ά. Ἥσεσθαι.

Μετοχαὶ Παθητικαί.

Ἐνεσῶς. Ὁ ἑέμενος, ἡ ἑεμένη, τὸ ἑέμενον.

Παρακείμεν. Ὁ εἰμένος, ἡ εἰμένη, τὸ εἰμένον.

Μετ' ὀλ. Μέλ. Ὁ εἰσόμενος, ἡ εἰσομένη, τὸ εἰσόμενον.

Ἀόρ. ά. Ὁ ἐθείς, ἡ ἐθεῖσα, τὸ ἐθέν.

Μέσ. Ἀόρ. ά. Ὁ ἡκάμενος, ἡ ἡκαμένη, τὸ ἡκάμενον.

Μέσ. Ἀόρ. β'. Ὁ ἕμενος, ἡ ἑμένη, τὸ ἕμενον.

Μέσ. Μέλ. ά. Ὁ ἡσόμενος, ἡ ἡσομένη, τὸ ἡσόμενον.

Εὕρηται καὶ Ἵημι ψιλούμενον, τὸ πορεύομαι. κλίνεται δ' ὁμοίως τῷ δασυνομένῳ.

Περὶ Ἑτέρων Ἀνωμάλων Ῥημάτων, Καὶ τινων μὴ πάντας ἐν χρήσει ἐχόντων τοὺς χρόνους παρὰ Πεζογράφοις. Κατὰ στοιχεῖον.

Ϛ. τμγ'. Ἀρχὴ τοῦ Α.

Ἄγαμαι Μέλλ, ἀγάσομαι, Ἀόριστος ά. ἠγάσθην, Μέσ. Ἀόρ. ά. ἠγασάμην.

Ἄγω, ἤγον. Μέλλ. ἄξω. Παρακ. ἀγήοχα. Ἀόρις. β' ἤγαγον.

Ἄγομαι, ἠγόμην. Μέλλ. ἄξομαι Παρακ. ἦγμαι, ἤγμην. Ἀόριστος ά. ἤχθην. Μέλ. ά. ἀχθήσομαι. Μέσ. Ἀόριστος. β'. ἠγαγόμην.

Ἀγάλλομαι. Παρατ. ἠγαλλόμην.

Ἀγαλλιῶμαι, ἠγαλλιώμην. Μέλλ. ἀγαλλιάσομαι, Μέσ. Ἀόριστος. ά. ἠγαλλιασάμην.

Ἄδω

Ἄδω. Παρατ. ἦδον. Μέλλων ά. ἄσω. Ἀόριστος α ἦσα, ἦσας, ἦσε,

Αἰδέομαι, οῦμαι. ἠδεόμην, ούμην, Μέλλ. αἰδέσομαι. Ἀόριστος ά. ἠδέσθην. Μέλλων ά. αἰδεσθήσομαι. Εὕρηται δὲ καὶ Μέσος Ἀόριστος. ά. αἰδέσασθαι, ἀπὸ τοῦ αἰδέζω ἀχρήστου.

Αἱρέω, ῶ. ἥρεον, ουν. Μέλλ. αἱρήσω, Παρακ. ἥρηκα. Ἀόρ. β'. εἷλον, ἀπὸ τοῦ ἕλω ἀχρήστου.

Αἱρέομαι, οῦμαι. ἡρεόμην, ούμην. Μέλλων. αἱρήσομαι. Ἀόριστος ά. ἡρέθην. Μέλλ. ά. αἱρεθήσομαι. Μέσ. Ἀόριστος β'. εἱλόμην, ἀπὸ τοῦ ἕλω.

Αἰσθάνομαι, ἠσθανόμην. Μέλ. αἰσθήσομαι. ἀπὸ τοῦ αἰσθέομαι, οῦμαι. Παρακ. ἤσθημαι. Μέσ. Ἀόριστος β'. ἠσθόμην.

Αἰσχύνω, ἤσχυνον. Μέλλ. αἰσχυνῶ. Ἀόριστος ά. ἤσχυνα.

Αἰσχύνομαι, ἠσχυνόμην. Μέλλ. αἰσχυνοῦμαι Ἀόρις. ά. ἠσχύνθην. Μέλλ. ά. αἰσχυνθήσομαι.

Αἱρέω. ῶ. καὶ ἀπαωρῶ, τὸ χρεμῶ, Παρατατ. ἀπηώρεον, ουν. Μέλλ. ἀπαιωρήσω. Παρακ. ἀπηώρηκα. Ἀόρις. ά. ἀπηώρησα.

Ἀκροάομαι, ῶμαι. ἠκροαόμην, ώμην. Μέλλων ά. ἀκροάσομαι. Ἀόρις. ά. ἠκροάσθην. Μέλλων ά. ἀκροασθήσομαι. Μέσ. Ἀόρις. ά. ἠκροασάμην.

Ἅλίσκω, ἥλισκον. καὶ πλέον οὔ. ὅτι τὰ εἰς σκω. μέχρι Παρατατικοῦ μόνον κλίνεται, Μέλλων ά.

ἁλω-

ἁλώσω, ἀπὸ τοῦ ἁλόω, ῶ. καὶ ἅλωμι. Παρακ. ἑάλωκα. Ἀόριστος β'. ἥλων, καὶ ἐάλων. Ἀπαρέμφατον, ἁλῶναι.

Ἁλίσκομαι, ἡλισκόμην. Μέλ. ἁλώσομαι. Ἀόρ. ϛ'. ἥλων, καὶ ἐάλων. Μέλλων α'. ἁλωθήσομαι. ἀπὸ τοῦ ἁλόω ῶ· καὶ ἅλωμι.

Ἁμαρτάνω, ἡμάρτανον, καὶ πλέον οὖ. Ὅτι τὰ εἰς ανω μέχρι Παρατατικοῦ μόνον κλίνονται. Μέλ. ἁμαρτήσω. Παρακ. ἡμάρτηκα. Ἀόριστος β'. ἥμαρτον, ἀπὸ τοῦ ἁμαρτέω, ῶ.

Ἁμύνομαι, ἠμυνόμην. Μέλλ. ἀμυνοῦμαι. Μέσ. Ἀόριστος α. ἠμυνάμην.

Ἀμφιεννύω, καὶ ἀμφιέννυμι. Μέλλ. ἀμφιέσω. Ἀόριστος α. ἤμφεσα, ἀπὸ τοῦ ἕω, ἀχρηστου.

Ἀμφιέννυμαι. Μέλλ. ἀμφιέσομαι. ἀπὸ τοῦ ἕω, ἕννω, ἐννύω, καὶ ἔννυμι. Παρακ. ἠμφίεσμαι. Μέσ. Ἀόριστος α'. ἠμφιεσάμην. καὶ ἠμφιασάμην, ἀπὸ τοῦ ἀμφιάζω.

Ἀναδέομαι, οῦμαι. Μέλλ. ἀναδήσομαι. Παρακ. ἀναδέδημαι. Ἀόρις. α'. ἀνεδήθην. Μέλλ. α'. ἀναδηθήσομαι. Μέσ. Ἀόρις. α'. ἀνεδησάμην.

Ἀναίνομαι, καὶ ἀπαναίνομαι. Παρατ. ἀπηναινόμην. Μέσ. Ἀόρις. α'. ἀπηνηνάμην, ἀπηνήνω, ἀπηνήνατο. Εὐκτικὸν, ἀνηνήμην. Μετοχή. ὁ ἀνηνάμενος.

Ἀναπετάννύω, καὶ ἀναπετάννυμι. Μέλλ. ἀναπετάσω. Ἀόρ. ἀνεπέτασα, ἀπὸ τοῦ ἀναπετάω, ῶ.

Ἀναμιμνήσκω. Μέλλ. ἀναμνήσω. Ἀόρ. ἀνέμνησα.

Ἀνέχομαι, ἠνειχόμην. Μέλλ. ἀνέξομαι. Μέσ. Ἀόρις. β'. ἠνεσχόμην.

Ἀνοίγω, Παρατ. ἤνοιγον, καὶ Ἀττικῶς ἀνέῳγον. Μέλλ. ἀνοίξω Ἀόριστος α'. ἤνοιξα, καὶ ἀνέῳξα. Μέσ. Παρακ. ἀνέῳγα.

Ἀνοίγομαι, ἠνοιγόμην. Μέλλ. ἀνοίξομαι. Παρακ. ἠνοιγμαι, καὶ Ἀττικῶς ἀνέῳγμαι. Ἀόριστος α'. ἠνοίχθην, καὶ ἀνεῴχθην. Μέλλ. ἀνοιχθήσομαι. Μέσ. Ἀόρ. α'. ἠνοιξάμην, καὶ ἀνεῳξάμην.

Ἀπαναίνομαι, ἀπηναινόμην. Μέσ. Ἀόριστος α'. ἀπηνηνάμην, ἀπηνήνω, ἀπηνήνατο.

Ἀπεχθάνομαι, ἀπηχθανόμην. Μέλλ. ἀπεχθήσομαι. Παρακ. ἀπήχθημαι. Μέσ. Ἀόρ. β'. ἀπηχθόμην. ἀπὸ τοῦ ἀπεχθέω, ῶ.

Ἀπόχρη, ἀπρόσωπον. Μέλ. ἀποχρήσει. Ἀόρις. ἀπέχρησε. Ἀπαρ. ἀποχρῆν, Μετ. τὸ ἀποχρῶν.

Ἅπτομαι, ἡπτόμην. Μέλ. ἅψομαι. Παρακ. ἧμμαι. Μέσ. Ἀόρ. α'. ἡψάμην.

Ἄρδω, καὶ ἀρδεύω. Μέλλ. ἀρδεύσω. Παρακ. ἤρδευκα. Ἀόρ. α'. ἤρδευσα.

Ἀρέσκω, ἤρεσκον. Μέλλ, ἀρέσω. Ἀόρ. ἤρεσα.

Ἀρήγω. Μέλλ. ἀρήξω. Ἀόρ. ἤρηξα. ὅθεν τὸ ἀρῆξαι.

Ἄρχοῦμαι, ἠρχούμην. Μέλλ. ἄρξομαι. Ἀόρις. ἠρξάσθην. Μέλ. α'. ἀρχεσθήσομαι,

Ἀ'ρκεῖ, ἀπρόσωπον. Παρατ. ἤρκει. Μέλλ. ἀρκέσει. Ἀόρ. ἤρκεσεν.

Ἄ'ρχω, ἦρχον. Μέλλ. ἄρξω. Ἀόρ. ἦρξα.

Ἄ'ρχομαι, ἠρχόμην. Μέλλ. ἄρξομαι. Παρακ. ἦργμαι, ἤργμην. Μέσ. Ἀόρ. α'. ἠρξάμην.

Ἀ'σχάλλω. Παρατ. ἤσχαλλον. καὶ πλέον οὖ.

Αὐξάνω, Παρατ. ηὔξανον. καὶ πλέον οὖ.

Αὔξω. Παρατ. ηὔξεον, ουν. Μέλλ. αὐξήσω. Παρακ. ηὔξηκα. ηὐξήκειν. Ἀόρ. ηὔξησα.

Ἄ'χθομαι. Παρατ. ἠχθόμην. Μέλλ. ἀχθέσομαι. Ἀόριϛ. α'. ἠχθέσθην. Μέλ. α'. ἀχθεσθήσομαι.

§. τμδ'. Ἀρχὴ τοῦ Β.

Βάλλω, ἔβαλλον. Μέλλ. βαλῶ. Ἀόριϛ. β'. ἔβαλον. Παρακ. βέβληκα. Τ'περσυν. ἐβεβλήκειν, ἀπὸ τοῦ βλέω ῶ.

Βάλλομαι, ἐβαλλόμην. Μέλλ. βαλοῦμαι. Παρακείμενος. βέβλημαι, ἐβεβλήμην. Ἀόριϛος α'. ἐβλήθην. Μέλλων α'. βληθήσομαι. Μέσ. Ἀόρ. β'. ἐβαλόμην.

Βαίνω, ἔβαινον. Μέλλ. βήσομαι. ἀπὸ τοῦ βάω, βῶ. καὶ βῆμι. Ὑπερσυντ. ἐβεβήκειν. Ἀόρ. β'. ἔβην.

Βαρύνω, ἐβάρυνον. Μέλ. βαρυνῶ. Παρακείμενος, βεβάρηκα, ἀπὸ τοῦ βαρέω, ῶ. Ἀόριϛος α'. ἐβάρυνα.

Βιβρώ-

Βιβρώσκω, ἐβίβρωσκον. Μέλλ. βρώσομαι. ἀπὸ τοῦ βράω, ῶ. Παρακ. βέβρωκα.

Βιόω, ῶ. ἐβίουν, ουν. Μέλ. βιώσω. Παρακ. βεβίωκα, ἐβεβιώκειν. Ἀόρ. α'. ἐβίωσα. Ἀόρ. β'. ἐβίων, ἀπὸ τοῦ βίωμι. Ἀπαρέμ. βιῶναι. Μετοχὴ, ὁ βιούς.

Βλασάνω, ἐβλάσανον. καὶ πλέον οὖ. Μέλλων α'. βλασήσω, ἀπὸ τοῦ βλασέω, ῶ. Παρακ. βεβλάσηκα. Ἀόρ. α'. ἐβλάσησα Ἀόρ. β'. ἔβλαστον.

Βούλομαι, ει, εται. Παρατ. ἐβουλόμην. Μέλλ. βουλήσομαι. Παρακ. βεβούλημαι. ἐβεβουλήμην. Ἀόρ. α'. ἐβουλήθην. Μέλλ. α'. βουληθήσομαι.

Βρενθύομαι. ἐβρενθυόμην, καὶ πλέον οὖ.

Βρίθω, ἔβριθον. Μέσ. Παρακ. βέβριθα.

Βρύχω, ἔβρυχον. Παρακ. βέβρυχα.

§. τμέ. Ἀρχὴ τοῦ Γ.

Γαμέω, ῶ. ἐγάμεον, ουν. Μέλ. γαμήσω. Παρακ. γεγάμηκα, ἐγεγαμήκειν. Ἀόριϛος α'. ἔγημα, ἀπὸ τοῦ γήμω, ἀχρήϛου.

Γεραίρω. Παρατ. ἐγέραιρον, καὶ πλέον οὖ.

Γέγηθα, Μέσ. Παρακ. ἐγεγήθειν. ἀπὸ τοῦ γήθω ἀχρήϛου.

Γελασείω καὶ πλέον οὖ. οὕτω καὶ ἐλαυνείω, καὶ πολεμησείω, καὶ ὅλως τὰ καλούμενα Ἐφετικά.

Γηράσκω, καὶ γηράω, ῶ. Μέλλ. γηράσω. Παρακ.

ρακ. γεγήρακα. Ἀόρ. α΄. ἐγήρασα.

Γίνομαι, καὶ γίγνομαι. Μέλλ. γενήσομαι. ἀπὸ τοῦ γενέω, ῶ. Παρακ. γεγένημαι, ἐγεγενήμην. Μέσ. Ἀόριρ. β΄. ἐγενόμην. καὶ Μέσος Παρακ. γέγονα. ἀπὸ τοῦ γείνω, ἀχρήσου.

Γνώσκω, ἐγίνωσκον. καὶ πλέον οὖ. Μέλλ. γνώσομαι, ἀπὸ τοῦ γνέω, ῶ. καὶ γνῶμι. Παρακείμενος. ἔγνωκα. Ἀόριτ. β΄. ἔγνων. Ἀπαρέμφατον. γνῶναι.

Γνώσκομαι, ἐγινωσκόμην. Μέλλων. γνώσομαι.

Παρακείμ. ἔγνωσμαι. Ἀόριτος α΄. ἐγνώσθην. Μέλλων α΄. γνωσθήσομαι.

Γρηγορέω, ῶ. ἐγρηγόρεον, ουν. Μέλλ. γρηγορήσω. Παρακ. ἐγρηγόρηκα. καὶ Μέσ. ἐγρήγορα. ὅθεν ὁ ἐγρηγορὼς.

§. τμς. Ἀρχὴ τοῦ Δ΄.

Δάκνω, ἔδακον. Μέλλ. δήξω, ἀπὸ τοῦ δήκω. Ἀόρ. β΄. ἔδακον.

Δέδια. ἔξι δείδω, ἄχρηςον· Μέλλ. δείσω. Παρακ. δέδεικα, καὶ Ἰωνικῶς δέδια. τὸ πληθυντικὸν, δέδιμεν, δέδιτε, δεδίασι. Ὑπερσυντ. ἐδεδείην, ης, η. Πληθυντικῶς, ἐδέδιμεν, ἐδέδιτε, ἐδεδίεσαν, καὶ ἐδέδισαν. Μέσος Παρακ. δέδοικα, καὶ τροπῇ τοῦ δ. εἰς κ. δέδοικα. τὸ Προσακτικὸν τοῦ Παρακ. καὶ Ὑπερσυντ. δέδιθι, κατὰ μεταπλασμόν. Ἀόρ. ἔδεισα.

Δεδίττομαι, ἐδεδιττόμην. Μέλλ. δείσω. καὶ τὰ λοιπὰ ἐκ τοῦ δείδω, ὡς εἴρηται ἐν τῷ δέδια.

Δεῖ, ἀπρόσωπον. Παρατ. ἔδει. Μέλλ. δεήσει. Ἀόρ. ἐδέησεν. Εὐκτικὸν, δέοι. Ὑποτακτικὸν, ἐὰν δέῃ. Ἀπαρέμ. δεῖν. Μετοχὴ, τὸ δέον.

Δεικνύω, καὶ δείκνυμι. Παρατ. ἐδείκνυον, καὶ ἐδείκνυν, υς, υ, Μέλλ. δείξω, ἀπὸ τοῦ δείκω. παρακ. δέδειχα. Ἀόρ. α΄. ἔδειξα. Ἀόρ. β΄. ἐδείκνυν, υς, υ. ὁμοίως τῷ Παρατ.

Δέω. Μέλλ. δήσω. Ἀόρ. α΄. ἔδησα.

Δέομαι, τὸ δεσμοῦμαι. Μέλλ. δήσομαι. Παρακ. δέδεμαι, ἐδεδέμην. Μετ' ὀλίγ. Μέλ. δεδήσομαι. Ἀόριτος α΄. ἐδέθην. Μέσ. Ἀόρ. α΄. ἐδησάμην.

Δέομαι, δέῃ, δέεται, καὶ δεῖται. Παρατ. ἐδεόμην, ἐδέου, ἐδέετο, καὶ ἐδεῖτο, Μέλλ. δεήσομαι. Παρακ. δεδέημαι. Ἀόριτ. α΄. ἐδεήθην. Μέλλων α΄. δεηθήσομαι. Ἀπαρέμφατα δεηθῆναι.

Δέρω, τὸ τύπτω, καὶ δάρω τὸ ἐκδέρω. Ἀόριτ. α΄. ἔδειρα, τὸ ἔτυψα, τῇ ει. ἔδηρα δὲ, τὸ ἐξέδηρα, τῷ η.

Δηόω, ῶ. ἐδήοον. ουν. Μέλλ. δηώσω. Ἀόρ. α΄. ἐδήωσα.

Διαιτάω, ῶ. ἐδιήταον, ων. Μέλλ. δηαιτήσω. Παρακ. δεδιήτηκα. Ἀόριτος α΄. ἐδιήτησα, κατεδιήτησα.

Διδόω, ῶ. δίδωμι. Μέλ. δώσω. Παρακείμενο-

δέδωκα. Ἀόρις. ά. ἔδωκα. καὶ β΄. ἔδων.

Δίδομαι, ἐδιδόμην. Μέλλ. δώσομαι. Παρακείμ. δέδομαι, ἐδεδόμην. Ἀόριστος. ά. ἐδόθην. Μέλλ. ά. δοθήσομαι. Μέσ. Ἀόρ. β΄. ἐδόμην.

Διδάσκω. ἐδίδασκον, καὶ πλέον οὖ. Μέλλ. διδάξω, ἀπὸ τοῦ διδάχω. Ἀόριστος ά. ἐδίδαξα.

Διδράσκω, ἐδίδρασκον, καὶ πλέον οὖ. Μέλλ. δράσω. καὶ ἀποδράσω, ἀπὸ τοῦ δράω, ῶ, καὶ δρῆμι. Παρακ. δέδρακα, ἐδεδράκειν. Ἀόριστος ά. ἔδρασα. Ἀόριστος. β΄. ἔδραν, ας, α.

Δράω, ῶ, τὸ πράττω, ἔδρων, ων. ἔδρας, ας. ἔδρα, α, Μέλλων. δράσω. Παρακ. δέδρακα. ἐδεδράκειν. Ἀόρ. ά. ἔδρασα.

Δοκέω, ῶ. Μέλλ. δόξω, ἀπὸ τοῦ δόκω ἀχρήστου. Ἀόρ. ά. ἔδοξα.

Δραμοῦμαι, ἔξι δρέμω, ἄχρηστον. Ἀόριστος β΄. ἔδραμον. Μέλ. β΄. δραμούμαι. Παρακ. δεδράμηκα, ἀπὸ τοῦ δραμέω, ῶ.

Δύναμαι, δύνασαι, δύναται. Παρατ. ἐδυνάμην, ἐδύνασο, ἐδύνατο. Μέλ. δυνήσομαι, ἀπὸ τοῦ δυνάωμαι ῶμαι. Παρακ. δεδύνημαι. Ἀόρις. ά. ἐδυνήθην. Μέλλων ά δυνηθήσομαι, Εὐκτικὸν, δυναίμην, αιο, αιτο. Ὑποτακ. ἐὰν δύνωμαι. δύνῃ, δύνηται. Ἀπαρέμ. δύνασθαι. Μετοχή. ὁ δυνάμενος.

Δύω. ἔδυον. Μέλλ. δύσω, Παρακ. δέδυκα. Ἀόριστος ά. ἔδυσα. καὶ β΄. ἔδυν, υς, υ. ἀπὸ τοῦ

Ἥκω, Παρατ. ἧκον, ες, ε, ἀντὶ Ἀορίστου. Μέλ. ἥξω.

§. τν΄. Ἀρχὴ τοῦ Θ.

Θάλλω, ἔθαλλον. Μέσ. Παρακείμ. τέθηλα.

Θέλω, Μέλλ. θελήσω. Παρακ. τεθέληκα. Ἀόρ. ἐθέλησα. Καὶ ἐθέλω, ἤθελον· ἐθελήσω, ἠθέλησα.

Θέω, τὸ τρέχω. θέεις, εἷς. θέει, εἶ. Παρατ. ἔθεον, ἔθεες, εις. ἔθεε, ει. Καὶ τ' ἄλλα ὁμοίως τῷ πλέω.

Θνήσκω, ἔθνησκον. καὶ πλέον οὖ. Ἀόριστος β΄. ἔθανον. καὶ Μέλλ. β΄. θανοῦμαι, ἀπὸ τοῦ θήνω. Παρακ. τέθνηκα, καὶ τέθναα Ἰωνικῶς, ἀπὸ τοῦ θνέω, ῶ. Εὐκτ. τεθναίην. Ἀπαρέμ. τεθνάναι. Μετοχὴ, ὁ τεθνεὼς, τοῦ τεθνεῶτος. ἔξι καὶ τέθνημι ἄχρηστον, ὅθεν τὸ τεθνᾶσι, καὶ ὁ τεθνὰς, τοῦ τεθνάντος.

§. τνα΄. Ἀρχὴ τοῦ Ι.

Ἱκνέομαι, οὖμαι. ἱκνεόμην, ούμην. Μέλλ. ἵξομαι, ἀπὸ τοῦ ἵκομαι. Παρακ. ἷγμαι, καὶ ἀφῖγμαι. Μέσ. Αόρ. β΄. ἱκόμην.

Ἱλάσκομαι. Μέλλ. ἱλάσομαι. Μέσ. Ἀόριστος ά. ἱλασάμην.

Ἱδρύομαι, ἱδρυόμην. Μέλλων. ἱδρύσομαι. Παρακ. ἵδρυμαι. Ἀόρις. ά. ἱδρύθην, καὶ ἱδρύνθην, Ἀτ-

τικῶς.

τικῶς. Μέσ. Α'όριστος ά. ἐδρυσάμην.

Ἵπταμαι, ἱπτάμην. καὶ πέτομαι, ἐπετόμην. Μέλλ. πτήσω, καὶ πτήσομαι. ἀπὸ τοῦ πτάω, ῶ. καὶ πτῆμι. Ἀόριστος 6. ἔπτην. Μέσ. Ἀόριστος β'. ἐπτάμην.

Ἴσθι. ἔσιν ἴσαω, ῶ. καὶ ἵσημι. τὰ πληθυντικὰ ἴσαμεν, καὶ κατὰ συγκοπὴν, ἶσμεν. ἴσατε, καὶ ἶστε. τὸ τρίτον ἴασι. καὶ πλέον οὖ. τὸ Προσακτικὸν κατὰ συγκοπὴν δι' ὅλου. Ἴσθι, ἴστω. ἴστον ἴστων. ἴστε, ἴστωσαν.

Ἴσχω, ἀπὸ τοῦ ἔχω κατὰ παραγωγήν. πλεονασμῷ. γὰρ τοῦ συμφώνου τρέπεται τὸ ε εἰς ι, οὕτω καὶ μένω, μίμνω. καὶ τέκω, τίκτω. καὶ πέτω, πίπτω. καὶ γένομαι, γίγνομαι.

§. τνβ'. Ἀρχὴ τοῦ Κ.

Καθέζομαι, ἐκαθεζόμην. Α'όρις. ά. ἐκαθέσθην. Μέλλων ά. καθεσθήσομαι. Μέσ. Μέλλ. 6. καθεδοῦμαι.

Κάθημαι, ἔσιν ἧω. ἐξ οὗ ἧμι. ἕεμαι, καὶ κάσει, ἧται, καὶ μετὰ τῆς κατὰ κάθημαι, κάθησαι, κάθηται. Παρατ. ἐκαθήμην, ἐκάθησο, καὶ ἐκάθου, ἐκάθητο. Μέλλ. ά. καθήσομαι. Προσακ. κάθησο, καὶ κάθου, καθήσθω. Ἀπαρέμ. καθῆσθαι. Μετοχὴ ὁ καθήμενος.

Καθίζω, ἐκάθιζον. Μέλ. καθίσω, Α'όριστος. ἐκάθισα.

Κα-

Καθαίρω, ἐκάθαιρον. Παρακ. κεκάθαρκα. ἐκεκαθάρκειν. Α'όρ. ά. ἐκάθαρα, καὶ ἐκάθηρα, καὶ καθῆρα.

Καθαίρομαι, ἐκαθαιρόμην. κεκάθαρμαι, ἐκεκαθάρμην, καθαρθήσομαι. ἐκαθηράμην.

Καλέω, ῶ. ἐκάλεον, ουν. Μέλ. καλέσω. Παρακ. κέκληκα. Α'όρσος ά. ἐκάλεσα.

Κάμνω, ἔκαμνον. Μέλ. καμῶ. Παρακ. κέκμηκα, ἐκεκμήκειν, ἀπὸ τοῦ κμέω, ῶ. Ἀόρ. 6'. ἔκαμον.

Κατέαγα. ἔσιν ἄγω, τὸ κλῶ. Μέσ. Παρακ. ἦγα, καὶ Ἀττικῶς ἔαγα, καὶ κατέαγα. Ἀόριστος ά. κατέαξα. καὶ Ἀόρ. β'. Παθητικὸς, κατεάγην, ης, η.

Κατεδήδοκα. ἔσιν ἔδω, τὸ ἐσθίω, καὶ ἐδέω ῶ. Παρακείμ. ἠδεκα, καὶ Ἀττικῶς ἐδήδοκα, κατεδήδοκα. Μετοχὴ, ὁ κατεδηδοκὼς, καὶ ὁ κατεδηδὼς, Μέσ. Παρακείμ.

Κατηγορέω, ῶ. κατηγόρεον, ουν. Μέλ. κατηγορήσω. Παρακ. κατηγόρηκα. Ἀόρις. κατηγόρησα. Ὁμοίως καὶ συνηγορῶ, συνηγόρουν. συνηγόρηκα, συνηγόρησα.

Κεῖμαι. ἔσι κέω ἔχρησον, ἐξ οὗ κέημι. Παθητικῶς κέεμαι, καὶ κράσει κεῖμαι, κεῖσαι, κεῖται. Παρατ. ἐκείμην, ἔκεισο, ἔκειτο. Μέλλ. κείσομαι, καὶ πλέον οὖ. Προσακ. κεῖσο, κείσθω. Εὐκτ. κοίμην, κέοιο, κέοιτο. Ὑποτακτ.

ἐὰν 5

ἐὰν κέωμαι, κέῃ, κέηται. Ἀπαρέμφατον. κεῖσθαι. Μετοχὴ ὁ κείμενος.

Κείρω, ἔκειρον. Μέλλ. κερῶ. Ἀόρις. ά. ἔκειρα.

Κείρομαι, ἐκειρόμην. Παρακ. κέκαρμαι, ἐκεκάρμην. Ἀόριςος β΄. ἐκάρην. Μέλλ. δ΄. καρήσομαι. Μέσ. Ἀόριςος ά. ἐκειράμην. Μέσ. Μέλλ. δ, καροῦμαι.

Κερδαίνω, ἐκέρδαινον. Μέλλ. κερδανῶ, καὶ κερδήσω, ἀπὸ τοῦ κερδαίω, ῶ. Ἀόρις. ά. ἐκέρδησα. καὶ ἐκέρδανα.

Κλαίω, ἔκλαιον, Μέλλ. κλαύσω. Ἀόρις. ἔκλαυσα.

Κορεννύω, καὶ κορέννυμι. Μέλλ. κορέσω. Ἀόρ. ά. ἐκόρεσα.

Κορέννυμαι, ἐκορεννύμην. Μέλλ. κορέσομαι. Παρακ. κεκόρεσμαι. Ἀόρις. ά. ἐκορέσθην. Μέλλ. ά. κορεσθήσομαι. Μέσ. Ἀόρ. ά. ἐκορεσάμην.

Κιρνάω, ῶ. καὶ κεράννυμι. Μέλλ. κεράσω. Παρακ. κεκέρακα. Ἀόρ. ά. ἐκέρασα.

Κράζω, ἔκραζον. Μέλλ. κράξω. Μέσος Παρακ. κέκραγα. Ἀόρ. ά. ἔκραξα. καὶ ἐκέκραξα, ἀπὸ τοῦ κεκράγω, Ἀόριςος β΄. ἔκραγον.

Κρεμάω, ῶ. Μέλλ. κρεμάσω. Ἀόρ. ἐκρέμασα.

Κρεμάομαι, ῶμαι. καὶ εἰς τὰ εἶμι, κρέμαμαι. Παρατ. ἐκρεμάμην. Μέλλ. κρεμασθήσομαι. Ἀόριςος ά. ἐκρεμάσθην. Μέλλων ά. κρεμασθήσομαι. Μέσος Ἀόρ. ά. ἐκρεμασάμην.

Κρύ-

Κρύπτομαι, ἐκρυπτόμην, κρύφομαι, κέκρυμμαι, ἐκεκρύμμην. Ἀόριςος β΄. ἐκρύβην. Μέλ. β΄. κρυβήσομαι. Μέσ. Ἀόρ. ά. ἐκρυφάμην.

Κτείνω, ἔκτεινον. Μέλλ. κτενῶ. Ἀόρ ά. ἔκτεινα. Μέσ. Παρακείμ. ἔκτονα. καὶ ἀπέκτονα. ἔςι. καὶ κτείννυμι, ὅθεν τὸ ἀποκτεινῦναι, καὶ ὁ ἀποκτεινύς.

Κυλίομαι, καὶ κυλίνδομαι, καὶ κυλινδέομαι, οῦμαι. καὶ καλινδέομαι, οῦμαι. Μέλλ. κυλίσομαι. Παρακ. κεκύλισμαι, ἐκεκυλίσμην. Ἀόρ. ά. ἐκυλίσθην. Μέλλων ά. κυλισθήσομαι. Μέσος. Ἀόρ. ά. ἐκυλισάμην.

Κύω, ἔκυον. Μέλλ. κυήσω. Παρακ. κεκύηκα. Ἀόρ. ά. ἐκύησα.

§. τνγ΄. Ἀρχὴ τοῦ Λ.

Λαγχάνω, ἐλάγχανον, καὶ πλέον οὖ. Ἀόριςος β΄. ἔλαχον, ἀπὸ τοῦ λήχω ἀχρήςου.

Λαμβάνω, ἐλάμβανον, καὶ πλέον οὖ. Μέλλ. λήψομαι, ἀπὸ τοῦ λήβω. Παρακ. λέληφα, καὶ Ἀττικῶς εἴληφα. Ἀόρ. β΄. ἔλαβον.

Λαμβάνομαι. ἐλαμβανόμην. Μέλλ. λήψομαι. Παρακ. λέλημμαι, καὶ Ἀττικῶς εἴλημμαι. Ἀόρ. ά. ἐλήφθην. Μέλλων ά. ληφθήσομαι. Μέσος Ἀόρ. β΄. ἐλαβόμην.

Λανθάνω, ἐλάνθανον. καὶ πλέον οὖ. Μέλλ. λήσομαι. Μέσ. Παρακ. λέληθα, ἐλελήθειν. Ἀόριςος.

ρισος β'. ἔλαθον, ἀπὸ τοῦ λήθω.

Λανθάνομαι, ἐλανθανόμην. Μέλλ. λήσομαι, ἀπὸ τοῦ λήθω. Παρακ. λέλησμαι. Ἀόρις. α'. ἐλήσθην, καὶ ἐπελήσθην. Μέλλ. α'. ἐπιλησθήσομαι. Μέσ. Ἀόρις. 6'. ἐλαθόμην.

Λεαίνω, ἐλέανον. λεανῶ, ἐλέανα.

Λείπω, καὶ λιμπάνω. Μέλλ. λείψω. Μέσ. Παρακ. λέλοιπα. Ἀόρ. α'. ἔλειψα, καὶ β'. ἔλιπον.

Λείπομαι, καὶ λιμπάνομαι. Μέλλ. λήψομαι. Παρακείμ. λέλειμμαι, ἐλελείμμην. Ἀόρ. α'. ἐλείφθην. Μέλ. α'. λειφθήσομαι. Μέσ. Ἀόριστος β'. ἐλειπόμην.

Λούομαι, καὶ λοῦμαι Ἀττικῶς, λούῃ, λούεται, καὶ λοῦται, Παρατ. ἐλουόμην, καὶ ἐλούμην, ἐλούου, ἐλούετο, καὶ ἐλοῦτο. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. Μέλλ. λούσομαι. Παρακ. λέλουμαι. Ἀόριστος α'. ἐλούσθην. Μέσος Ἀόριστος α'. ἐλουσάμην.

Λυμαίνομαι, ἐλυμαινόμην, λυμανοῦμαι. Μέσ. Ἀόριστος α'. ἐλυμηνάμην.

Σ. τυ. Ἀρχὴ τοῦ Μ.

Μαίνομαι, ἐμαινόμην. Μέλλων, μανοῦμαι. Μέσος Παρακ. μέμηνα, ἐμεμήνην. Ἀόρις. β'. ἐμάνην.

Μανθάνω, ἐμάνθανον, καὶ πλέον οὖ. Μέλλων, μαθήσομαι, ἀπὸ τοῦ μαθέω, ὦ. Παρακ. μεμάθηκα, ἐμεμαθήκειν. Ἀόριστος 6'. ἔμαθον, ἀπὸ τοῦ μήθω ἀχρήστου.

Μάχομαι, ἐμαχόμην. Μέλλ. μαχήσομαι. Μέσος Ἀόριστος α. ἐμαχησάμην, καὶ ἐμαχσάμην. Μέσ. Μέλλ. β. μαχοῦμαι.

Μέλλει· ἀπρόσωπον. Παρατ. ἔμελε. Μέλ. μελήσει. Παρακ. μεμέλκκε. καὶ μέσος, μέμηλε. Ἀόρις. α'. ἐμέλησε.

Μέλλω. Παρατ. ἔμελλον, καὶ πλέον οὖ.

Μιμνήσκω, ἀπὸ τοῦ μνάομαι, ῶμαι. Υπερσυντ. ἐμεμνήμην. Ἀόρ. α'. ἐμνήσθην. Μέλλων α'. μνησθήσομαι. Μέσος Ἀόριστος α'. ἐμνησάμην. Μέσ. Μέλλων α'. μνήσομαι.

Μένω, ἔμενον. Μέλλ. μενῶ. Παρακείμ. μεμένηκα. Ἀόριστος α'. ἔμεινα.

Μίγω, μιγνύω καὶ μίγνυμι. Μέλλων μίξω. Μέσος Παρακ. μέμιγα. Ἀόριστος α'. ἔμιξα.

Μιμνήσκομαι. ἐμιμνησκόμην, καὶ πλέον οὖ. Μέλλ. μνήσομαι. Παρακ. μέμνημαι, καὶ τὰ λοιπὰ, ὡς ἐν τῷ μέμνημαι.

Σ. τνε. Ἀρχὴ τοῦ Ν.

Νέμω, ἔνεμον. Μέλλ. νεμῶ. Παρακ. νενέμηκα, ἐνενεμήκειν. Ἀόρ. α'. ἔνειμα.

Σ. τνς. Ἀρχὴ τοῦ Ξ.

Ξαίνω, ἔλαινον. Μέλλ. ξανῶ. Ἀόρ. α'. ἔξανα

Ξέω, ἔξεον. Μέλλ. ξέσω. Ἀόρις. ά. ἔξεσα.
Ξύω, ἔξυον. Μέλλ. ξύσω. Ἀόριςος. ἔξυσα.

§. τνζ. Ἀρχὴ τοῦ Ο.

Οἴζω, Μέλλ. οἰζέσω Ἀόρις. ά. ὤϊζεσα. Μέσ. Παρακείμ. ᾠδα, καὶ Ἀττικῶς, ὄδωδα.

Οἶδα. ἔσιν εἶδω ἄχρηςον. Μέλλ. εἴσομαι. Μέσος, Παρακείμ. οἶδα. τὸ β΄. οἶδας, καὶ προσθέσει θα, οἴδασθα, καὶ κατὰ συγκοπὴν, ᾖσθα. τὸ τρίτον, οἶδε. Ὑπερσυντ. ᾔδειν. Ἀόριςος β΄. εἶδον, σημαίνει δὲ οὗτος τὸ ἔβλεψα. Εὐκτ. εἰδείην, ης, η. Ὑποτακτ. ἐὰν εἰδῶ, ῇς, ῇ. Ἀπαρέμ. εἰδέναι. Μετοχὴ, ὁ εἰδὼς. Ἀορ. β΄. Προσαχ. ἰδὲ, ἰδέτω. Εὐκτ. ἴδοιμι. Ὑποτ. ἐὰν ἴδω. Ἀπαρ. ἰδεῖν. Μετοχ. ὁ ἰδών.

Οἰκτείρω, ᾠκτειρον. Μέλλ. οἰκτιρήσω, ἀπὸ τοῦ οἰκτιρέω, ῶ. Ἀόρ. ά. ᾠκτείρησα, καὶ ᾤκτειρα, ἀπὸ τοῦ οἰκτείρω.

Οἴομαι, καὶ κράσει οἶμαι, οἴει, οἴεται. Παρατ. ᾠόμην, καὶ ᾤμην, ᾠου, ᾠετο. Μέλλ. οἰήσομαι. Ἀόρ. ά. ᾠήθην. Μέλλ. ά. οἰηθήσομαι.

Οἴχομαι. Μέλλ. οἰχήσομαι. Παρακείμ. ᾤχηκα. καὶ ᾴχημαι. ὅθεν τὸ παρῴχηκα, καὶ παρῴχημαι. Μέσ. Ἀόριςος β΄. ᾠχόμην.

Ὀλέω, ῶ. Μέλ. ὀλέσω. Παρα[illegible]. ὤλεκα. καὶ Ἀττικῶς, ὠλόλεκα. Ἀόρις. ά. ὤλεσα.

Ὀλέομαι, οὖμαι. ὠλεόμην, ούμην. ὀλέσομαι. ὤλεσμαι, ὠλέσθην. ὀλεσθήσομαι. ὠλεσάμην.

Ὄλλω, ὀλλύω, καὶ ὄλλυμι. Μέλλ. ὀλῶ. Μέσος Παρακ. ὤλα, καὶ Ἀττικῶς ὄλωλα.

Ὀλλύομαι, καὶ ὄλλυμαι. Μέλλ. ὀλοῦμαι, ἀπὸ τοῦ ὄλλω ἀχρήςου. Μεσ. Ἀόρις. β΄. ὠλόμην.

Ὀμνύω, καὶ ὄμνυμι. Μέλλ. ὀμόσω, καὶ ὀμοῦμαι. Παρακ. ὤμοκα, καὶ Ἀττικῶς, ὀμώμοκα. Ἀορ. ά. ὤμοσα. καὶ Μέσ. Ἀόρ. ά. ὠμοσάμην.

Ὀνίνημι, τὸ ὠφελῶ. Μέλλ. ὀνήσω. Ἀόρ. ά. ὤνησα. Μέσ. Μέλλ. ά. ὀνήσομαι. Μέσ. Ἀόρ. ά. ὠνάμην, καὶ ἀπωνάμην.

Ὁράω, ῶ. ὤραων, ων. καὶ ἑώρων Ἀττικῶς. Παρακ. ἑώρακα. Ὑπερσυντ. ἑωράκειν,

Ὁρμάω, ῶ. ὥρμαων, ων. ὥρμηκα. ὡρμήκειν, ὥρμησα, ὁρμέω δὲ ὁρμῶ. τὸ ἐν λιμένι εἰμί. ὁρμίζω δὲ, τὸ ἕτερον εἰσάγω εἰς ὅρμον.

Ὄπτομαι, ἄχρηςον. Μέλλ. ὄψομαι, ὄψει, ὄψεται. Ἀόριςος ά. ὤφθην. Μέλλων ά. ὀφθήσομαι.

Ὀφείλω, ὤφειλον. Μέλλων. ὀφειλήσω.

Ὄφλω, καὶ ὀφλισκάνω. Μέλλ. ὀφλήσω. Παρακ. ὤφληκα. ὠφλήκειν. Ἀόρ. ά. ὤφλησα.

§. ρνη. Ἀρχὴ τοῦ Π.

Πάσχω, ἔπασχον. Μέλλ. πείσομαι, ἀπὸ τοῦ πείθω. Μέσ. Παρακ. πέπονθα. Ἀόρ. β΄. ἔπαθον, ἀπὸ

ἀπὸ τοῦ πάθω ἀχρήσου.

Πείρω, ἔπειρον. Ἀόριστος ά. ἔπειρα.

Πείρομαι, ἐπειρόμην. Παρακ. πέπαρμαι, ἐπεπάρμην, Ἀόρ. β'. ἐπάρην. Μέλλ. β'. παρήσομαι, Μέσ. Ἀόρ. ά. ἐπειράμην.

Πέλω, πέλεις, πέλει. πλέον οὗ.

Πέμπω, ἔπεμπον. Μέλλ. πέμψω. Παρακ. Ἀττ. πέπομφα. Ὑπερσ. ἐπεπόμφειν. Ἀόρ. ά. ἔπεμψα.

Πέπρωται, ἀπρόσωπον, ἀπὸ τοῦ πεπεράτωται, φασί, κατὰ συγκοπήν. Μετοχ. τὸ πεπρωμένον.

Πετανύω, καὶ πετάννυμι. Μέλλ. πετάσω, ἀπὸ τοῦ πετάω, ῶ. Ἀόρ. ά. ἐπέτασα.

Πετανύομαι, καὶ πετάννυμαι. Μέλλ. πετάσομαι. Παρακ. πεπέτασμαι, ἀπὸ τοῦ πετάζομαι. καὶ πέπταμαι, ἀπὸ τοῦ πτάω, ῶ. καὶ πτήμι, Ἀόρ. ά. ἐπετάσθην. Μέλλων ά. πετασθήσομαι. Μέσ. Ἀόρ. ά. ἐπετασάμην.

Πηγνύω, καὶ πήγνυμι. Μέλλ. πήξω, ἀπὸ τοῦ πήγω, Μέσ. Παρακ. πέπηγα, ἐπεπήγειν. Ἀόρ. ά. ἔπηξα.

Πηγνύομαι, καὶ πήγνυμαι. Μέλλ. πήξομαι, ἀπὸ τοῦ πήγομαι. Παρακ. πέπηγμαι. Ἀόρ. ά. ἐπήχθην. καὶ β'. ἐπάγην. Μέλλων ά. πηχθήσομαι. καὶ β'. παγήσομαι. Μέσ. Ἀόρ. ά. ἐπηξάμην.

Πιμπλάω, ῶ. καὶ πίμπλημι. μετὰ φ̃ς τῆς ἐν, ἐμπιπλῶ, καὶ ἐμπίπλημι. Μέλλ. πλήσω, ἀπὸ τοῦ πλήθω, Ἀόριστ. ά. ἔπλησα.

Πίμπλομαι, καὶ ἐμπίπλαμαι. Παρατ. ἐνεπιμπλάμην. Μέλλ. πλήσομαι, ἀπὸ τοῦ πλήθω. Παρακ. πέπλησμαι, ἐπεπλήσμην. Ἀόρ. ά. ἐπλήσθην. Μέλλ. ά. πλησθήσομαι. Μέσ. Ἀόρ. ά. ἐπλησάμην.

Πιμπράω, ῶ. καὶ πίμπρημι. καὶ μετὰ τῆς ἐν, ἐμπιπρῶ. καὶ ἐμπίπρημι. Μέλλ. πρήσω, ἀπὸ τοῦ πρήθω. Ἀόρ. ά. ἔπρησα.

Πίμπραμαι, καὶ ἐμπίπραμαι. Παρατ. ἐνεπιμπράμην. Μέλλων. πρήσομαι, ἀπὸ τοῦ πρήθομαι. Παρακ. πέπρησμαι. καὶ ἐμπέπρησμαι. Ἀόρ. ά. ἐπρήσθην, Μέλλ. ἐμπρησθήσομαι. Μέσ. Ἀόριστ. ά. ἐνεπρησάμην.

Πίνω, ἔπιον. Ἀοριστ. β'. ἔπιον. Μέλλ. πίομαι. Παρακ. πέπωκα, ἐπεπώκειν, ἀπὸ τοῦ πόω, ῶ. Παθητικὸς πέπομαι. ἐπεπόμην. Ἀόριστος ά. ἐπόθην. Μέλλ. ά. ποθήσομαι.

Πιπράσκω, ἐπίπρασκον, καὶ πλέον οὗ. Μέλλων, πράσω, ἀπὸ τοῦ πράττω. Παρακ. πέπρακα, ἐπεπράκειν.

Πιπράσκομαι, ἐπιπρασκόμην. Μέλλ. πράσομαι. Παρακ. πέπραμαι, ἐπεπράμην. Ἀόριστος ά. ἐπράθην. Μέλ. ά. πραθήσομαι.

Πίπτω, ἔπιπτον. Μέλλ. πέσω, ἀπὸ τοῦ πέτω. Ἀόρ. β'. ἔπεσον, καὶ Μέλλ. β'. πεσοῦμαι. Παρακ. πέπτωκα, ἐπεπτώκειν. ἀπὸ τοῦ πτόω, ῶ.

Πλάττω, ἔπλαττον. Μέλ, πλάσω. Ἀόρ. ά. ἔπλασα.

Πλέω, πλεῖς, εἷς. πλέει, εἶ. Παρατ. ἔπλεον, ἔπλεες, εις. καὶ ἁπλῶς ἐκεῖνα μονα συναιροῦνται.

ή συναίρεσις εἰς ει. τὰ δὲ λοιπὰ ἀσυναιρέτως προφέρωνται. διὸ καὶ τὰ Εὐκτικὰ, καὶ τὰ ὑποτακτικὰ τῶν τοιούτων ἀεὶ ἀσυναίρετα. Μέλλ. πλεύσω. Παρακ. πέπλευκα. Ἀόρ. ἔπλευσα. οὕτω δὲ καὶ τὸ πνέω, καὶ ῥέω, καὶ χέω, καὶ τὰ ὅμοια.

Πράττω, ἔπραττον, πράξω. Παρακ. πέπραχα, καὶ Μέσος πέπραγα. Ἀόριστος ά. ἔπραξα.

Πριάωμαι, ῶμαι. καὶ πρίαμαι. Παρατ. ἐπριάμην, ἀντὶ Ἀορίστου. Ὑποτακ. ἐὰν πρίωμαι. Ἀπαρέμ. πρίασθαι. Μετοχή, ὁ πριάμενος.

Προσκυνῶ, προσκύνουν. προσκυνήσω. προσεκύνησα.

Πτήσσω, Μέλλ. πτήξω. Παρακ. ἔπτηχα, καὶ κατέπτηχα. Ἀόρ. ά. ἔπτηξα.

Πυνθάνομαι Μέλ. πεύσομαι, ἀπὸ τοῦ πεύθω. Παρακείμ. πέπεισμαι. Μέσ. Ἀόρ. β. ἐπυθόμην.

§. τνϑ. Ἀρχὴ τοῦ Ρ.

Ῥέω, ῥέεις, εἷς. ῥέει, εἴ. Παρατ. ἔῤῥεον, ἔῤῥεες, εις καὶ τἆλλα, ὥσπερ ἐπὶ τοῦ πλέω, Μέλλ. ῥεύσω, Παρακ. ἔῤῥευκα. Ἀόρ. ά. ἔῤῥευσα.

Ῥήσσω, ῥηγνύω, καὶ ῥήγνυμι. Μέλλ. ῥήξω. Μέσος Παρακ. ἔαγα, καὶ διέῤῥωγα. Ὑπερσ. ἐῤῥώγην. Ἀόρις. ά. ἔῤῥηξα.

Ῥήσσομαι, ῥηγνύομαι, καὶ ῥήγνυμαι. Μέλλ. ῥήξομαι. Παρακ. ἔῤῥηγμαι. Ἀόρ. ά. ἐῤῥήχθην. καὶ β. ἐῤῥάγην. Μέλλ. ά. ῥηχθήσομαι, καὶ β. ῥαγήσομαι. Μέσ. Ἀόριστος ά. ἐῤῥηξάμην.

Ῥωννύω, καὶ ῥώννυμι. Μέλ. ῥώσω. ἔῤῥωσα.

Ῥώννυμαι, καὶ ῥώννυμι. Μέλλ. ῥώσομαι. ἀπὸ τοῦ ῥῶ. Ἀόρ. ά. ἐῤῥώσθην. Μέλλων ά. ῥωσθήσομαι ἀπὸ τοῦ ῥώζω ἀχρήσου.

§. τξ. Ἀρχὴ τοῦ Σ.

Σαίνω, ἔσαινον. πλέον οὗ.

Στένω, ἔσενον, καὶ σεναζω, ἐσέναζον. Μέλ. σεναξω. Ἀόριστος ἐσέναξα.

Σβεννύω, καὶ σβέννυμι. Μέλλ. σβέσω. Αόρ. ά. ἔσβεσα, Ἀόριστος β. ἔσβην. καὶ Μέλλ. σβήσομαι, ἀπὸ τοῦ σβῆμι.

Σήπω, καὶ σήπομαι. Μέλλ. σήψομαι. Μέσ. Παρακ. σέσηπα. Ἀόριστος. β. ἐσάπην.

Σπένδομαι. Μέλλ. σπείσομαι. Μέσ. Ἀόρ. ά. ἐσπεισάμην.

Στάζω. Μέλλων σάξω. Ἀόρ. ἔσαξα.

Σπίζω. σίξω. Ἀόριστος ά. ἔσιξα.

Στορέννυμι. Μέλλ. σορέσω. Ἀόριστος ἐσόρεσα.

Στρωννύω. Μέλλ. σρώσσω. Ἀόριστος. ά. ἔσρωσα.

§. τξά. Ἀρχὴ τοῦ Τ.

Τέθηπα. ἔσι θήσω τὰ θαυμάζω ἄχρηστον. Μέσ. Παρακ. τέθηπα. ἐτεθήπειν.

Τέμνω, ἔτεμνον. Μέλλ. τεμῶ. Παρακ. τέτμηκα ἀπὸ τοῦ τμέω, ῶ. Ἀόρ. β. ἔτεμον, καὶ ἔταμον.

Τήκω, Μέλλ. τήξω. Μέσ. Παρακ. τέτηκα.

Τήκ-

Τήκομαι, ἐτηκόμην. Μέλλ. τήξομαι. Ἀόρ. β'. ἐτάκην. Μέλλ. δ'. τακήσομαι.

Τίθημι. Μέλ. θήσω. Παρακ. τέθεικα τῇ ει. Ἀόριστος α'. ἔθηκα. Ἀόριστ 6. ἔθην, το ἀπαρέμ. θεῖναι. τῇ ει,

Τίθεμαι. Μέλλ. θήσομαι. Παρακ. τέθειμαι, τῇ ει. ἐτεθείμην. Μ[illegible]όλγ. Μέλλ. τεθήσομαι. Ἀόριστος α'. ἐτέθην. Μέλλ. α' τεθήσομαι. Μέσ. Ἀορ. δ'. ἐθέμην.

Τίκτω, ἔτικτον. Μέλλ. τέξω, ἀπὸ τοῦ τέκω. Μέσος Παρακ. τέτοκα - Ἀόριστ. β'. ἔτεκον.

Τιτρώσκω, ἐτίτρωσκον. Μέλλ. τρώσω. Παρακ. τέτρωκα. Ἀόριστος α'. ἔτρωσα, ἀπὸ τοῦ τρόω, ῶ.

Τνω, τενύω, καὶ τείνυμι. Μέλ. τενῶ. ἔτεινα.

Τλάω, ῶ Μελλ. τλήσω. Ἀόριστ. β'. ἔτλην, ἀπὸ τοῦ τλῆμι.

Τρέφω. Μελλ. θρέψω. τέθρεφα. Ἀόρ. α'. ἔθρεψα.

Τρέφομαι, ἐτρεφόμην. Μέλλ. θρέψομαι. Παρακ. τέθραμμαι. Ἀόριστος β'. ἐτράφην. τραφήσομαι, ἐθρεψάμην.

Τρώγω, ἔτραγον. Ἀόρ. β'. ἔφαγον, ἀπὸ τοῦ φάγω, ἀφάγεσον. Μέλλων β'. φαγῆμι.

Τυγχάνω, ἐτύγχανον. καὶ τλέον οὐ. Μέλ. τεύξομαι, ἀπὸ τοῦ τεύχω. Παρακ. τέτευχα, καὶ τετύχηκα, ἀπὸ τοῦ τυχέω, ῶ. Ἀόρ. β'. ἔτυχον.

§. τξβ'. Ἀρχὴ τοῦ Υ.

Ὑπισχνοῦμαι· Μέλλ. ὑποσχήσομαι. Παρακ. ὑπέσχημαι. Ἀόρ. α'. ὑπεσχέθην. Μέλλ. α'. ὑποσχεθήσομαι. Μέσ. Ἀόριστ. β'. ὑπεσχόμην.

Ὑει. Μέλλ. ὕσει. Ἀόρ. α. ὗσεν.

§. τξγ'. Ἀρχὴ τοῦ Φ.

Φέρω, ἔφερον. Μέλλ. οἴσω, ἀπὸ τοῦ οἴω. Παρακ. ἐνήνοχα, ἐνηνοχειν, ἀπὸ τοῦ ἐνέγκω. Ἀόρ. α'. ἤνεγκα. Ἀόριστος δ'. ἤνεγκον.

Φέρομαι, Μέλλ. οἴσομαι, ἀπὸ τοῦ οἴω. Παρακ. ἐνήνεγμαι, ἐνηνέγμην, ἀπὸ τοῦ ἐνέγκω. Ἀόρ. α'. ἠνέχθην· Μέλλων α' ἐνεχθήσομαι. Μέσ. Ἀόριστ. α'. ἠνεγκάμην.

Φεύγω, ἔφευγον. Μέλλ. φεύξομαι. Μέσ. Παρακ. πέφευγα. Ἀόριστος. β'. ἔφυγον.

Φημὶ, φῄς, φησὶ, καὶ φάσκω. Παρατ. ἔφασκον. Μελλ. φήσω. Ἀόρ. α'. ἔφησα, καὶ δ'. ἔφην. Μέσ. Ἀόρ. β'. ἐφάμην. Προσακτικόν. φάθι. Εὐκτ. φαίην. Ἀπαρέμ. φᾶναι. Μετοχὴ, ὁ φάς, καὶ ὁ φάμενος.

Φθάνω, ἔφθανον. Μέλλ. φθάσω, ἀπὸ τοῦ φθάω, ῶ, καὶ φθῆμι. Παρακ. ἔφθακα, ἐφθάκειν. Ἀόριστ. α'. ἔφθασα, καὶ δ'. ἔφθην. Μετοχ. ὁ φθάς.

Φθείρω, ἔφθειρον. Μέλλ. φθερῶ. Παρακ. ἔφθαρκα. καὶ Μέσος ἔφθορα. Ἀόρ. α'. ἔφθειρα.

Φθίνω, ἔφθινον. Μέλλ. φθίσω. Ἀόρ. ἔφθισα, καὶ β'. ἔφθ[illegible]

τοῦ φύω.

Φρίττω, ἔφριττον. Μέλλ. φρίξω. Μέσ. Παρακείμ. πέφρικα. φρίκη γὰρ τὸ ρηματικόν. Ἀόρ. ἔφριξα.

Φύω, ἔφυον. Μέλ. φύσω. Παρακ. πέφυκα. ἐπεφύκειν. Ἀόρις. α΄. ἔφυσα, καὶ β΄. ἔφυν, υς, υ.

§. τξγ΄. Ἀρχὴ τοῦ Χ.

Χαίνω, ἔχαινον. Μέλλ. χανῶ. Μέσ. Παρακ. κέχηνα. Ἀόριτος β΄. ἔχανον.

Χαίρω, ἔχαιρον. Ἀόριτος β΄. ἐχάρην. Μέλ. β΄. χαρήσομαι.

Χαλεπαίνω, Μέλλ. χαλεπανῶ. Ἀόρ. α΄. ἐχαλέπηνα.

Χέω, χέεις, εἷς. καὶ τὰ λοιπὰ κατὰ τὸ πλέω. Μέλλων α΄. χεύσω ἄχρηστος. Παρακ. κέχυκα. Ἀόρ. α΄. ἔχεα. Προσακ. χέον. καὶ ἔχεον. Ἀπαρ. χέαι, καὶ συγχέαι.

Χέομαι, ἐχεόμην. Μέλλ. χεύσομαι, ἄχρηστος. Παρακ. κέχυμαι, ἐκεχύμην. Ἀόρ. α΄. ἐχύθην. Μέλλων α΄. χυθήσομαι. Μέσ. Ἀόρ. α΄. ἐχεάμην.

Χράομαι, ῶμαι, χρᾶσθε, ῆ, χράεται, ῆται. καὶ τῶν ἄλλων ὁμοίως, τὸ α, εἰς η, Παρατ. ἐχραώμην, ώμην. ἐχράου, ῶ. ἐχράετο, ῆτο. Μέλλων χρήσομαι. Παρακ. κέχρημαι. ἐκεχρήμην. Μέσος Ἀόρις. α΄. ἐχρησάμην.

ἀπρόσωπον. Παρατ. ἐχρῆν, καὶ χρῆν, Ἀπαρέμ. χρῆναι. Μετοχὴ, χρεών. χωρὶς ἄρθρου.

μετὰ

μετὰ δὲ ἄρθρου τὸ χρεὼν, ὄνομά ἐστι ἄκλιτον.

Χρωννύω, καὶ χρώννυμι. Μέλλ. χρώσω, ἀπὸ τοῦ χρωζω. Ἀόρ. α΄. ἔχρωσα.

§. τξδ΄. Ἀρχὴ τοῦ Ψ.

Ψάλλω, ἔψαλλον. Μέλλ. ψαλῶ. Παρακ. ἔψαλκα. Ἀόριτος α΄. ἔψαλα.

§. τξε΄. Ἀρχὴ τοῦ Ω.

Ὦθω, καὶ ὠθέω, ὦ. Μέλλ. ὤσω, καὶ ὠθήσω. Ἀόρις. α΄. ὦθησα, καὶ ὦσα, καὶ ἔωσα Ἀττικῶς.

Ὦθομαι, καὶ ὠθέομαι, οὖμαι. Μέλλ. ὤσωμαι, καὶ ὠθήσωμαι. Παρακείμ. ὦσμαι. καὶ ἔωσμαι, Ἀττικῶς. Ἀόριτος α΄. ὤσθην, καὶ ἐώσθην. Μέλ. α΄. ὠσθήσομαι. Μέσ. Ἀόρις. α΄. ὠσάμην, καὶ ἐωσάμην.

Ὠνέομαι, οὖμαι. ὠνεόμην, ούμην. Μέλλ. ὠνήσομαι. Μέσ. Ἀόρις. α΄. ὠνησάμην.

Περὶ τῶν Ἀνυποτάκτων λεγομένων, Ῥημάτων.

§. τξς΄. Σεσημείωνται κατὰ στοιχεῖον ἐνταῦθα οἱ Μέλλοντες τῶν Ῥημάτων χρόνοι, ἀφ' ὧν οὐκ ἔστι σύστοιχον Ἀόριστον σχηματίσαι, οὔθ' ὁριστικόν. οὔθ' ὑποτακ. δηλονότι. διὸ δὴ καὶ Ἀνυποτακτα τοιαῦτα καλοῦσί τινες. Εἰσὶ τοίνυν οἱ ἐφεξῆς οὗτοι.

Αἴρ-

Αἱρήσω, καὶ αἱρήσομαι. Αἰσθήσομαι. ἀλώσω, καὶ ἁλώσομαι. Ἄξω, καὶ Ἄξομαι. Ἀνήσω, καὶ Ἀφήσω. καὶ ἀνήσομαι, καὶ ἀφήσομαι.

Βήσομαι, βουλήσομαι.

Γενήσομαι, Γνώσομαι.

Δυνήσομαι, Δώσω. καὶ δώσομαι.

Ἔδομαι, Μέλλ. Ἔσομαι. Ἐλεύσομαι, Ἐρήσομαι. Ἐρῶ, Ἕξω, καὶ Ἕξομαι. Ἔσομαι. εὑρήσω, καὶ εὑρήσομαι. Ἕψομαι

Θήσω, καὶ θήσομαι. Ἵξομαι.

Κλείσομαι. Λήσομαι. Λήψομαι,

Μαθήσομαι.

Οἰήσομαι, Οἴσω, καὶ οἴσομαι. οἰχήσομαι, ὄψομαι,

Πείσομαι, ἐκ τοῦ πάσχω. Πεύσομαι. Πίομαι.

Πτήσομαι, ἐκ τοῦ Ἵπταμαι.

Σήψομαι. Σχήσομαι. καὶ Ὑποσχήσομαι.

Τεύξομαι. ὑφήσω. καὶ ἁπλῶς οἱ ἐκ τοῦ ἵημι. ἥσω, σύνθετον. ἐπαφήσω, παρυφήσω.

Φάγομαι, φεύξομαι.

Πολλῆς οὖν ἐν τούτοις προσοχῆς χρεία, μήποτε διὰ τὴν συσχοιχίαν καὶ Ὑποτακτικοῖς ἐξ αὐτῶν λάθωμεν χρησάμενοι Ἀορίστοις. Τὰ μὲν δὴ περὶ Κλίσεως, καὶ σχηματισμοῦ τῶν μερῶν τοῦ πάσσοντα, καὶ μὴ κατὰ διάλεκτον λόγου, ἀρκούντως ἔχει. ἑξῆς δὲ ῥητέον, περὶ τῶν αὐτῶν καὶ κατὰ πᾶσαν Διάλεκτον.

ΒΙΒΛΙΟΝ Β΄.

Περὶ Κλίσεως, καὶ Σχηματισμοῦ τῶν τοῦ Λόγου Μερῶν, Ἰδίᾳ κατὰ Διάλεκτον.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τοῦ Ὀνόματος, κατὰ Κλίσιν ἑκάστην, καὶ Πτῶσιν χωρίς.

Περὶ τῶν Πρωτοκλίτων.

Εὐθεῖα.

§. τξζ. Τῶν πρωτοκλίτων ἡ εἰς ας, εὐθεῖα, καὶ εἰς ης Ἰωνικως γινεται, τρπῇ τοῦ α, εἰς η. οἷον, ὁ Αἰνείκης. ὁ Αἰνείης. ὁ Πυθαγόρας, ὁ Πυθαγόρης. Καὶ ἀνάπαλιν ἡ εἰς ης, Δωρικῶς εἰς ας. οἷον, ὁ Κρύσας, ὁ Ἀμφιτρυωνίδας. Ἔτι εὑρήσεις παρὰ Ποιηταῖς ὀνομασικὰς τῶν εἰς ης Πρωτοκλίτων ὁμοίας ταῖς αὐτῶν Κλητικαῖς, ληγούσας εἰς α, βραχὺ, ἔθει Αἰολικῷ, καὶ Βοιωτικῷ, καὶ Θεσσαλικῷ· οἷον, ὑβρεγόρα, νεφεληγερέτα, θυέστα, μητιέτα, ἠχέτα, ἱππότα.

Γενικὴ.

§. τξή. Ἡ δὲ Γενικὴ, εἰς ου μὲν κοινῶς, Δωρικῶς

κῶς δὲ εἰς α. τοῦ Αἰνεία, τοῦ κοχλία, τοῦ ἰθομήτα. Αἰολικῶς δὲ εἰς αο. τοῦ Αἰνείαο, τοῦ Χρύσαο, τοῦ ἀ μαχρᾶ φυλαττομένου. Ἰωνικῶς δὲ εἰς εω. τοῦ Αἰνείεω, τοῦ Χρύσεω. Καὶ κατὰ κρᾶσιν εἰς ω. τοῦ Αἰνείω, τοῦ Χρύσω.

Δοτική.

§. τξθ'. Ἡ δὲ Δοτικὴ, τῷ Αἰνείᾳ Κοινῶς, καὶ Αἰνείῃ Ἰωνικῶς. τῷ χρύσῃ Κοινῶς, καὶ χρύσᾳ Δωρικῶς.

Αἰτιατική.

§. τό'. Ἡ Αἰτιατικὴ, τὸν Αἰνείαν Κοινῶς. καὶ Ἰωνικῶς Αἰνείην, καὶ Αἰνείεα. τὸν χρύσην Κοινῶς. καὶ χρύσαν Δωρικῶς, καὶ χρύσεα Ἰωνικῶς.

Γενικὴ Πληθυντική.

§. τοα'. Ἡ Γενικὴ πληθυντικὴ, τῶν Αἰνειῶν, καὶ χρυσῶν Κοινῶς. Αἰνειάων δὲ, καὶ χρυσάων Αἰολικῶς, μακροῦ τοῦ α ὄντος. Αἰνειᾶν δὲ, καὶ χρυσᾶν Δωρικῶς. καὶ χρυσέων Ἰωνικῶς.

Δοτικὴ Πληθυντική.

§. τοβ'. Ἡ Δοτικὴ πληθυντικὴ, τοῖς Αἰνείαις, καὶ χρύσαις Κοινῶς. Αἰνείασι δὲ, καὶ χρύσασιν Ἰωνικῶς κατὰ προσχηματισμόν. καὶ ἔτι τοῖς χρύσησι, ὁπῆ τοῦ ι εἰς η

Περὶ

Περὶ τῶν Δευτεροκλίτων Εὐθεῖα.

§. τογ'. Ἡ δὲ τῶν δευτεροκλίτων εὐθεῖα, εἰς α, λήγουσα, καὶ εἰς η Ἰωνικῶς γίνεται· οἷον, σοφία, σοφίη· ἡμέρα, ἡμέρη. τοὐναντίον δὲ, ἡ εἰς η, λήγουσα, εἰς α, Δωρικῶς γίνεται· οἷον, τιμὴ, τιμά. ἀδὴ, ἀδά. ἡ αὐτὴ δὲ τηρεῖται τροπὴ, καὶ ἐπὶ γενικῆς, καὶ δοτικῆς, καὶ αἰτιατικῆς.

Δοτική.

§. τοδ'. Εὑρήσεις δὲ παρὰ Ποιηταῖς Δοτικὰς τοιαύτας πεπονθυίας μεταπλασμόν· οἷον, ὑσμίνι μάχεσθαι, ἀντὶ ὑσμίνῃ. καὶ ἀλκὶ πεποιθὼς, ἀντὶ ἀλκῇ. καὶ ἐν δωδῶνι, ἀντὶ δωδώνῃ. Ἔστι δὲ μεταπλασμὸς, ἀπὸ κλίσεως εἰς κλίσιν ἄλλην μετασχηματισμὸς τῆς αὐτῆς πτώσεως.

§. τοε'. Ὁμοίως δὲ γίνεται αὐταῖς καὶ Προσχηματισμὸς παρὰ Ποιηταῖς. ὡς φρήτρη φρήτρηφιν ἀρήγει, φύλα δὲ φύλοις. Γίνεται δὲ τὸ τοιοῦτο καὶ ἐν ἄλλαις πρώσεσι διαφόρων ὀνομάτων, ἐν ὀνομαστικῇ, ὡς ἑτέρηφιν, ἀντὶ ἑτέρη. ἐν γενικῇ, ὡς χαλκόφιν, ἀντὶ χαλκοῦ. ἐν δοτικῇ, ὡς ἕπηφι, ἀντὶ βίῃ. ἐν αἰτιατικῇ, ὡς ἔννηφιν· ἀντὶ ἔννην. καὶ δεξιόφιν, ἀντὶ δεξιόν.

Γενι-

Γενικὴ Πληθυντική.

§. ρος'. Ἡ δὲ πληθυντικὴ Γενικὴ, τῶν μουσῶν Κοινῶς, καὶ μουσάων Αἰολικῶς, μακροῦ τοῦ α ὄντος. καὶ μουσέων Ἰωνικῶς, καὶ μουσᾶν Δωρικῶς.

Δοτικὴ Πληθυντική.

§. ροζ'. Ἡ δὲ δοτικὴ, ταῖς μούσαις, Κοινῶς, καὶ κατὰ προσχηματισμὸν, μούσασι, καὶ μούσῃσιν Ἰωνικῶς.

Περὶ τῶν Τριτοκλίτων.

Γενικὴ.

§. ροη'. Τῶν δὲ τριτοκλίτων, ἡ γενικὴ εἰς ου μὲν Κοινῶς, εἰς οιο δὲ Ἰωνικῶς τε καὶ Ἀττικῶς λόγου, λόγοιο. καλοῦ, καλοῖο. Δωρικῶς δὲ εἰς ω. ὡς δὲ, Πίνδω, καὶ Πηνειῶ.

Γενικὴ καὶ Δοτικὴ Δυϊκῶν.

§. ροθ'. Ταῖς τοιαύταις δοτικαῖς προσιθέασι πολλάκις οἱ Ἴωνες τὸ ι βραχύ· οἷον, ὤμοιν, ὤμοιϊν. μαρναμένοιν, μαρναμένοιϊν, ποδοῖν, ψοδοῖϊν.

Δοτικὴ Πληθυντική.

§. ρπ'. Ἡ δὲ Πληθυντικὴ Δοτικὴ, λαμβάνει ἀνταῦθα κατὰ προσχηματισμὸν τὸ ι. οἷον, τοῖσι λόγοισι. Μάσχει δὲ καὶ αὕτη μεταπλασμόν. οἷον. σπρόβασιν, ἀντὶ πραβάτοις. ἄρεσιν, ἀντὶ ἄρεσι καὶ

καὶ ἔγκασιν, ἀντὶ ἐγκάτοις.

Αἰτιατικὴ Πληθυντική.

§. ρπά. Ἡ Αἰτιατικὴ πληθυντικὴ, τοὺς λόγους Κοινῶς, καὶ τὼς λόγως Δωρικῶς. οὗτοι γὰρ τὴν ου εἰς ω τρέποντες, τὼς λύκως, καὶ τὼς ταύρως λέγουσι, τὸ ως ἀντὶ βραχέος λαμβάνοντες ἑπομένου φωνήεντος.

§. ρπβ'. Ποιητῶν δὲ καὶ τὸ λαμβάνειν τὰ οὐδέτερα πληθυντικὰ, ἀντὶ ἀρσενικῶν, ἢ θηλυκῶν τριτοκλίτων, οἷον· ὁ τάρταρος, καὶ ἡ τάρταρος, τὰ τάρταρα. ὁ νῶτος, τὰ νῶτα. ὁ μηρὸς, τὰ μηρά. ὁ κύκλος, τὰ κύκλα. ὁ χαλινὸς, τὰ χαλινά. ἡ κέλευθος, τὰ κέλευθα. ὁ δίφρος, τὰ δίφρα.

Περὶ τῶν Τετρατοκλίτων.

Εὐθεῖα.

§. ρπγ'. Ἰσέον ὡς οἱ Ἀττικοὶ, τῶν εἰς ος καθαρὸν κοινῶν Ὀνομάτων τῆς Τρίτης κλίσεως τὴν λήγουσαν ἐκτείνοντες, καὶ τὴν παραλήγουσαν συζέλλοντες, σχηματίζουσι τὰ εἰς ως Τετρατόκλιτα, φυλάττοντες τὸν αὐτὸν τόνον· οἷον, ὁ Πηλέλαος, ὁ Μενέλεως. ὁ Νικόλαος, ὁ Νικόλεος. ὁ Ἰόλας, ὁ Ἰόλεως. ὁ λαὸς, ὁ Λεὼς. ὁ ναὸς, ὁ νεώς.

Γενικὴ.

§. ρπδ'. Ἡ Γενικὴ, τοῦ Μενέλεω. προσλαμ-

βάνει δὲ πολλάκις αὖτη παρὰ Ποιηταῖς τὸ ο, διὰ τὸ μέτρον· οἷον, Πετεῶο, ἀντὶ Πετεῶ. καὶ Ταλαῶο, ἀντὶ Ταλαῶ. καὶ Μινῶο, ἀντὶ Μίνω. καὶ Ἀνδρογεῶο, ἀντὶ Ἀνδρογεῶ.

Αἰτιατική.

§. τπε'. Ἡ Αἰτιατικὴ, τὸν Μενέλαων. εὕρηνται δὲ αὗται αἱ Αἰτιατικαὶ χωρὶς ν, ἔθει ἀρχαίῳ Ἀττικῷ· οἷον, Ἄθω, Κῶ, Κέω, ἕω, λαγώ. ὁμοίως εὕρηται χωρὶς ν, καὶ ἡ τῶν οὐδετέρων εὐθεῖα, καὶ Αἰτιατικὴ· οἷον, τὸ ἀγήρω, καὶ τὸ ἀναπλέω.

Περὶ τῶν Πεμπτοκλίτων.

Εὐθεῖα.

§. τπς'. Τῶν δὲ Πεμπτοκλίτων ἡ εὐθεῖα, ὁ Αἴας. Οἱ Δωριεῖς δὲ ἐνίοτε προσιθέντες ι, θόαις, ἀντὶ θόας, καὶ μέλαις, ἀντὶ μέλας λέγουσι.

Γενική.

§. τπζ. Ἡ Γενικὴ, τοῦ Αἴαντος. εὑρήσεις δὲ γενικὰς εἰς ω. παρὰ Ποιηταῖς διὰ τὸ μέτρον· οἷον, Αἴω, ἀντὶ Αἴαντος. καὶ Θόω, ἀντὶ Θόαντος.

Αἰτιατική.

§. τπή. Ἡ Αἰτιατικὴ, τὸν Αἴαντα. πάσχει δὲ καὶ ἀποκοπὴν ἐνίοτε αὐτὴ· οἷον, Ποσειδῶ, ἀντὶ Ποσειδῶν. καὶ ἰδρῶ, ἀντὶ ἰδρῶτα. πάσχει δὲ κα-

κρᾶσιν

κρᾶσιν ἢ τῶν εἰς ων συγκριτικῶν Αἰτιατική· οἷον, τὸν μείζονα, καὶ μείζω. τὸν ἐλάσσονα, καὶ ἐλάσσω. ἀποβαλλομένου τοῦ ν.

Κλητική.

§. τπθ'. Ἡ Κλητική, ὦ Αἶαν Κοινῶς, καὶ ὦ Αἶας Ἀττικῶς. εὕρηνται δὲ παρὰ Ποιηταῖς καὶ Κλητικαὶ εἰς α, τῶν εἰς ας ὑπερδισυλλάβων, παρὰ τὸ δάμνω συντεθειμένων· οἷον, ὁ λαοδάμας, ὦ λαοδάμα. ὁ πολυδάμας, ὦ πολυδάμα.

Δοτικὴ Πληθυντική.

§. τιγ. Ἡ Δοτική, τοῖς Αἴασι. καὶ Ἰωνικῶς Αἰάντεσσι· οὗτοι γὰρ ἀπὸ τῆς ἑνικῆς γενικῆς τροπῇ τοῦ ο εἰς ε, καὶ προσθέσει τοῦ σι, σχηματίζουσι τὴν Δοτικὴν πληθυντικήν· οἷον Αἴαντος, Αἰάντεσσι. γίγαντος, γιγάντεσσιν, ἥρως, ἡρώεσσι. τρυγόνος, τρυγόνεσσι. βήματος, βηματέεσσιν. ἔπεος, ἐπέεσσιν. ἀληθέος, ἀληθέεσιν. εἰμὴ τὸ ἓν σ, ἐκβληθεὶν διὰ τὸ μέτρον.

Αἰτιατικὴ Πληθυντική.

§. τιδ'. Ἡ Αἰτιατικὴ, τοὺς Αἴαντας. τῶν γενικὴν συγκριτικῶν αἵτε πληθυντικαὶ εὐθεῖαι, καὶ Αἰτιατικαὶ, καὶ εἰς ους κατὰ κρᾶσιν γίνονται ἔθει Ἀττικῷ· οἷον, οἱ μείζονες, καὶ μείζους. τῶν δέτοι οὐδετέρων, εἰς ω· οἷον, τὰ μείζονα, καὶ μείζω.

Περὶ

Περὶ τῆς Πρώτης Κλίσεως τῶν Συνηρημένων.

§. τιβ'. Ἡ Ὀνομαστικὴ, ὁ Δημοσθένης, ἡ Γενικὴ, τοῦ Δημοσθένεος Ἰωνικῶς, καὶ Δημοσθένους Κοινῶς, καὶ Ἀττικῶς, καὶ Δημοσθένου Αἰολικῶς. ἡ Δοτικὴ, τῷ Δημοσθένεϊ, καὶ Δημοσθένει. ἡ Αἰτιατικὴ, τὸν Δημοσθένεα, καὶ Δημοσθένη· οἱ γεμὴν Ἀττικοὶ ἐπὶ τῶν ης κυρίων, εἰς ους ἐχόντων τὴν γενικὴν, εἰς ην ποιοῦσι τὴν Αἰτιατικήν· τὸν Δημοσθένην, τὸν Ἀριστοφάνην, τὸν Δημώδην λέγοντες. ἐπὶ δὲ τῶν ἐπιθέτων δίγενῶν, εἰς η μόνον. τὸν δυσχῆ, τὸν ἀληθῆ.

§. τιγ'. Ἔτι ἐπὶ τῶν καθαροκαταλήκτων, ἡ Αἰτιατικὴ οὐ μόνον, εἰς η, ἀλλὰ καὶ εἰς α, Ἀττικῶς γίνεται· οἷον, τὸν εὐφυῆ, καὶ εὐφυᾶ. τὸν ὑγιῆ, καὶ ὑγιᾶ. Τὸ δὲ δυσκλέα, ἀπὸ τοῦ δυσκλεέα κατὰ συγκοπὴν ἐγένετο διὰ τὸ μέτρον.

Κλητική.

§. τιδ'. Ἡ Κλητικὴ, ὦ Δημόσθενες Κοινῶς, καὶ ὦ Δημοσθένη Ἀττικῶς. τὰ γὰρ εἰς ης συνηρημένα, κοινῶς εἰς ες ποιοῦσι τὴν Κλητικήν. καὶ τὰ μὲν βαρύτονα προπαροξυτόνως· οἷον, ὦ Ἀριστότελες, ὦ μεγάκλεες. τὰ δὲ ὀξύτονα, ὀξυτόνως· οἷον, ὦ ἀληθὲς, ὦ εὐσεβές.

§. τιε'. Ἔτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰς ης κυρίων εἰς

εἰς η ποιοῦσι τὴν Κλητικήν· οἷον, ὦ Δημοσθένη. ὦ Ἀριστοφάνη. Αἰολεῖς δὲ εἶσε, ὦ Δημόσθενε, Δεῦρο τε, Ἀριστόφανε, λέγοντες.

Εὐθεῖα Πληθυντική.

§. τις'. Ἡ Πληθυντικὴ Εὐθεῖα, οἱ Δημοσθένεις Ἰωνικῶς, καὶ Δημοσθένεις Κοινῶς, καὶ Ἀττικῶς. Σημείωσαι δὲ, ὅτι οἱ ἀρχαῖοι, ὡς γέγραπται, ἐπὶ τῶν εἰς η κυρίων, καὶ τῶν ἀπὸ τοῦ ἔτος συντεθειμένων ἐπιθέτων, ἐποίουν Εὐθεῖαν Πληθυντικὴν εἰς αι, καὶ Αἰτιατικὴν εἰς ας· οἷον, οἱ Ἀριστοφάναι, τοὺς Ἀριστοφάνας. οἱ Δημομσθέναι, τοὺς Δημοσθένας, οἱ ἑπταέται, τοὺς ἑπταέτας. οἱ δωδεκαέται, τοὺς δωδεκαέτας.

Γενικὴ Πληθυντικη.

§. τιζ'. Ἡ Γενικὴ, τῶν Δημοσθενέων, καὶ Δημοσθενῶν. Ἡ δοτικὴ, τοῖς Δημοσθενέεσι, καὶ Δημοσθένεσι. Ἡ Αἰτιατικὴ, τοὺς Δημοσθένεας, καὶ Δημοσθένεις. Ἡ Κλητικὴ, ὦ Δημοσθένεες, καὶ ὦ Δημοσθένεις.

Περὶ τῶν εἰς ο Οὐδετέρων.

§. τιη'. Τὸ τοῖχος. Ἡ Γενικὴ τοῦ τείχεος Ἰωνικῶς, καὶ τείχους κοινῶς, καὶ τείχευς Δωρικῶς. τὰ δὲ λοιπὰ, ὡς ἐν τῷ πρώτῳ Βιβλίῳ. Σημειωτέον δὲ καὶ τὰ χρέα, καὶ κλέα, κατὰ συγκοπὴν ἀντὶ ἀπ

ἀπὸ τοῦ χρέα, καὶ κλέα.

Περὶ τῆς Β'. τῶν Συνηρημένων.

§. τ θ'. Ὁ ὄφις, τοῦ ὄφιος Κοινῶς, καὶ ὄφεως Ἰωνικῶς, καὶ ὄφεως Ἀττικῶς. τῷ ὄφιϊ, καὶ ὄφεϊ, καὶ ὄφει. τὸν ὄφιν μόνως. ὦ ὄφι Κοινως, καὶ ὦ ὄφις Ἀττικῶς. τὼ ὄφιε, καὶ ὄφεε, καὶ ὄφη. τοὶν ὀφίοιν, καὶ ὀφέοιν, καὶ ὄφεων. ὦ ὄφιε, καὶ ὄφεε, καὶ ὄφη. οἱ ὄφιες, καὶ ὄφεες, καὶ ὄφεις. τῶν ὀφίων, καὶ ὀφέων, καὶ ὄφεων. τοῖς ὄφισι, καὶ ὄφεσι. τοὺς ὄφιας, καὶ ὄφεας, καὶ ὄφεις. ὦ ὄφιες, καὶ ὄφεες, καὶ ὄφεις.

§. υ'. Ἡ πόλις, τῆς πόλιος Κοινῶς, καὶ πόλεος Ἰωνικῶς, καὶ πόλεως Ἀττικῶς. τῇ πολιϊ, καὶ πόλεϊ, καὶ πόλει. τὴν πόλιν. ὦ πόλι, καὶ ὦ πόλις. Τὼ πόλιε, καὶ πόλεε, καὶ πόληε, καὶ πόλη. ταῖν πολίοιν, καὶ πολέοιν, καὶ πόλεων. ὦ πόλιε, καὶ πόλεε, καὶ πόληε, καὶ πόλη. Αἱ πόλιες, καὶ πόλεες, καὶ πόληες, καὶ πόλεις. τῶν πολίων, καὶ πολέων, καὶ πολέων, καὶ πόλεων. τοῖς πόλισι καὶ πόλεσι, καὶ πόλησι. τὰς πόλιας, καὶ πόλεας, καὶ πόληας, καὶ πόλεις. ὦ πόλιες, καὶ πόλεες καὶ πόληες, καὶ πόλεις.

§. υά. Τὸ σίνηπι. τοῦ σινήπιος Κοινῶς, καὶ σινήπεος Ἰωνικῶς, καὶ σινήπεως Ἀττικῶς. τῷ σινήπιϊ, ι, καὶ σινήπεϊ, ει. τὸ σίνηπι. ὦ σίνηπι. Τὼ σινήπια, ι, καὶ σινήπεε, η. τοῖν σινηπίοιν καὶ σινηπέοιν

πέοιν καὶ σινήπεων. ὦ σινήπιε, καὶ ὦ σινήπεϊ, η. Τὰ σινήπια, ι, καὶ σινήπεα, η. τῶν σινηπίων, καὶ σινηπέων, καὶ σινήπεων. τοῖς σινήπισι, καὶ σινήπεσι. τὰ σινήπια, ι. καὶ σινήπεα, η. ὦ σινήπια, καὶ ὦ σινήπεα, η.

Περὶ τῆς Γ'. τῶν Συνηρημένων.

§. υβ'. Ὁ Βασιλεύς, τοῦ βασιλέος Κοινῶς, καὶ βασιλῆος Ἰωνικῶς, καὶ βασιλέως Ἀττικῶς, καὶ βασιλεῦς Δωρικῶς. τῷ βασιλεῖ, καὶ βασιλῆϊ, καὶ βασιλεϊ. τὸν βασιλέα, καὶ βασιλῆα. ὦ βασιλεῦ, καὶ ὦ βασιλεύς. Τὼ βασιλέε, καὶ βασιλῆε. τοῖν βασιλέοιν, καὶ βασιλήοιν. ὦ βασιλέε, καὶ βασιλῆε. Οἱ βασιλέες, καὶ βασιλεῖς, καὶ βασιλῆες. τῶν βασιλέων, καὶ βασιλήων. τοῖς βασιλεῦσι, καὶ βασιλῆσι, καὶ βασιλέσσι. τοὺς βασιλέας, καὶ βασιλεῖς, καὶ βασιλῆας. ὦ βασιλέες, καὶ βασιλεῖς, καὶ βασιλῆες.

§. υγ'. Ἔτι οἱ παλαιοὶ Ἀττικοὶ τὰ δύο ες, τῶν πληθυντικῶν τῶν εἰς ευς κυρίων, εἰς ες μόνον κιρνῶσιν· οἷον, Πηλέες, εἰς. Τυδέες. εἰς. τῶν δὲ μὴ κυρίων, εἰς ες, καὶ εἰς ης, βασιλέες, εἰς. καὶ βασιλῆς λέγοντες. Ὁμοίως καὶ ἐπὶ αἰτιατικῆς, καὶ κλητικῆς τῶν τε πληθυντικῶν καὶ τῶν ἑνικῶν. τὴν γεμὴν ἑνικὴν αἰτιατικὴν ἂς ἡ συναιροῦσι καὶ ἐπὶ τῶν κυρίων· οἷον, τὸν βασιλέα, καὶ βασιλῆ. τὸν Ἀχιλλέα καὶ Ἀχιλλῆ.

§. υδ'. Ἔτι ἰσέον, ὡς Κοινῶς μὲν τὰ εἰς ευς

ξύνεται. Ἀχιλλεύς· Πηλεύς. Αἰολικῶς δὲ βαρύνοντα. Ἀχίλλευς. Πήλευς. ὅθεν καὶ τὴν γενικὴν Ἀχίλλιος λέγουσι. καὶ Ἀχίλλειος.

§. υέ. Ἔτι τὰ εἰς ευς καθαροκατάληκτα. συναιροῦντα καὶ ἐπὶ γενικῆς. καὶ αἰτιατικῆς ἕθει Ἀττικῷ· οἷον, ὁ Ἐρετριεὺς τοῦ Ἐρετριέως. Ἐρετριῶς. τὸν Ἐρετριέα. Ἐρετριᾶ. ὁ Πειραιεύς. τοῦ Πειραιέως. Πειραιῶς. τὸν Πειραιέα. ᾶ.

Περὶ της Δ'. τῶν Συνῃρημένων.

§. υς. Ἡλητώ. τῆς λητόος Ἰωνικῶς, καὶ λητοῦς Κοινῶς. τῇ λητοΐ καὶ λητοῖ. τὴν λητόα καὶ λητώ, καὶ λητω Αἰολικῶς. καὶ λήτουν, καὶ λητοῦν Ἰωνικῶς. ὦ λητοΐ, καὶ ὦ λητώ. τὰ δὲ λοιπὰ ὡς ἐν τῷ α Βιβλίῳ.

Περὶ τῆς Ε'. τῶν Συνῃρημένων.

§. υζ'. Τὸ κρέας, τοῦ κρέατος Κοινῶς, καὶ κρέαος Ἰωνικῶς, καὶ κρέως Ἀττικῶς. τῷ κρέατι, καὶ κρεΐ, καὶ κρέᾳ. τὸ κρέας. ὦ κρέας. Τω κρέατε, καὶ κρέαε, καὶ κρέα. τοῖν κρεάτοιν, καὶ κρεάοιν, καὶ κρεῶν, καὶ κρεοῖν. ὦ κρέατε, καὶ κρέαε, καὶ κρέα. Τὰ κρέατα, καὶ κρέαα καὶ κρέα. τῶν κρεάτων, καὶ κρεάων, καὶ κρεῶν. τοῖς κρέασι. τὰ κρέατα, καὶ κρέαα, καὶ κρέα. ὦ κρέατα, καὶ κρέαα καὶ κρέα.

Γενικαὶ Σημειώσεις.

§. υή. Ἔτι ἰσέον, ὡς οἱ Δωριεῖς τὰς εἰς Πληθυντικὰς προπαροξυτόνους εὐθείας, παροξύνουσι· οἷον, φιλοσόφοι. καὶ ἐπὶ μετοχῶν, καλουμένοι. πωλουμένοι. Περισπῶσι δὲ τὰ τοιαῦτα, παιδῶν, παντῶν, τροφῶν.

§. υθ'. Αἰολεῖς δὲ βαρύνουσι τὰ ὀξύτονα δισύλλαβα· σόφος, κάλος, λεῦκος, ὄξυς, κόπις, θύρις. Καὶ τὰς εἰς ως ὀξυτόνους μετοχάς· οἷον, εἰρηκώς, νενοηκώς, παροξυτόνως εἰς ων ποιοῦσιν, εἰρήκων, νενοήκων λέγοντες. συσέλλουσι δὲ καὶ τὸ ας τῆς πληθυντικῆς Αἰτιατικῆς τῶν πρωτοκλίτων, καὶ δευτεροκλίτων· οἷον, τοὺς χρῦσας, τὰς μοῦσας.

§. υί. Ἔτι ἰσέον ὡς Δωριεῖς μὲν μακρὸν λαμβάνουσι τὸ α, ἀντὶ τοῦ η. νᾶσος, νᾶσος. σελάνη, σελάνα. Ἴωνες δὲ βραχεῖ χρῶνται αὐτῷ· οἷον· νύμφα φίλη.

§. υιά. Ἔτι οἱ Αἰολεῖς ὅσα διὰ τῆς ει διφθόγγου παρ' ἡμῖν λέγεται, διὰ μόνου τοῦ ε προφέρουσι, διπλασιάζοντες τὸ ἀμετάβολον· ἰμείρων ἰμέρρων. ὠτειλὰς ὠτελλάς. εἵματα ἕμματα. ὑμεῖς, ὔμμες. διπλασιάζουσι δὲ καὶ τὸ σ καὶ π καὶ τ. τόσσον, ὅππη, ὅτι. Αἰολέων δὲ καὶ τὸ ἐναλλάσσειν ἔστιν τὸ σ εἰς δ. ὀσμὴ, ὀδμή.

§. υιβ'. Δωριέων δέ ἐστι καὶ ἡ μετάθεσις τῶν στοιχείων· καρδία, καρδία, κράτιστος, κάρτιστος.

§. υιγ'. Δωριέων δὲ καὶ τὸ ἐπενθεῖναι τὸ ν. πνεῦ-

πνοή, πνοιή. πόα, ποία. χρόα, χροιά. Ἴδιαι δὲ τούτων καὶ αἱ ἀποκοπαί. Ποσειδῶνα, ποσιδῶ. κρίμνον κρῖ.

§. υιδ'. Ἰώνων δὲ ἡ προσθήκη τοῦ υ. οἷον ὄρος, οὖρος. μόνος, μοῦνος. νόστος. νοῦστος. κόρη, κούρη. τῶν αὐτῶν δὲ καὶ ἡ χρῆσις τοῦ κ. ἀντὶ τοῦ π. ἐν τοῖς ἐρωτηματικοῖς καὶ ἀορίστοις· οἷον, πίσσα κόσσα. ὅπως ὅκως. Καὶ τὸ ω δὲ ἀντὶ τῆς ου λαμβάνουσιν Ἴωνες. θαῦμα. θῶμα. Καὶ τὸ πολὺ πολλὸν λέγουσι. καὶ ὁπόλλος. Πληθυντικῶς δὲ οἱ πολέες καὶ τοὺς πολέας.

§. υιε'. Ἀττικῶν δὲ τὸ λαμβάνειν τὰ δύο ττ ἀντὶ τῶν δύω σσ, θάλασσα, θάλαττα. γλῶσσα, γλῶττα. Καὶ ἔτι τὸ σ, ἀντὶ τοῦ ρ. θάῤῥος, θάρσος. ἄῤῥεν, ἄρσεν.

§. υις'. Ἀττικὸν δὲ καὶ τὸ συναλοιφαῖς χρῆσθαι τῶν ἄρθρων μετὰ τῶν ὀνομάτων· οἷον, τὸ ἱμάτιον, θοιμάτιον· τὸ προοίμιον, φροίμιον. τὰ ὅπλα, θὤπλα. τὸ ἔργον, τοὔργον. ὁμοίως καὶ ὁ ἕτερος, ἄτερος. τοῦ ἑτέρου, θατέρου, τῷ ἑτέρῳ θατέρῳ. τῇ ἑτέρᾳ, θατέρᾳ. τὸ ἕτερον, θάτερον· τὰ ἕτερα, θάτερα. οὐκ ἔτι δὲ, οὐδὲ τὸν ἕτερον, ἢ τῆς ετέρας συναλοίφουσι, διὰ τὸ ἐπιὸν σύμφωνον τῷ ἄρθρῳ.

§. υιζ'. Καὶ Δωριεῖς ὁμοίως λέγουσιν. ὁ αἰτόλος, ὠπόλος.

ΚΕΦ. Β'.

Περὶ Ῥήματος Βαρυτόνου.

Ἐνεργητικοῦ.

§. υιή. Τύπτω, τύπτεις καὶ τύπτης Αἰολικῶς, καὶ τύπτες Δωρικῶς. Τύπτει, καὶ τύπτη Αἰολικῶς. Τύπτετον, τυπτετον. Τύπτομεν, καὶ τύπτομες Δωρικῶς. Τύπτετε. τὸ τρίτον, Τύπτουσι, καὶ τύπτοντι Δωρικῶς.

Παρατατικός.

§. υιθ'. Ἔτυπτον, ἔτυπτες· τὸ τρίτον ἔτυπτε. καὶ τύπτεσκεν Ἰωνικῶς προσθέσει τοῦ σκ. Ποιηταὶ δὲ καὶ τοῖς τρισὶ προσώποις παρεντιθέασι σκ. χάρεσκον, χαίρεσκες, χαίρεσκεν. ἀπὸ τοῦ ἔχαιρον, ες, ε. Πληθ. Ἐτύπτομεν, καὶ ἐτύπτομες Δωρικῶς. ἐτύπτατε, ἔτυπτον.

§. υκ'. Ἰώνων δὲ καὶ τὸ ἀφαιρέσει χρῆσθαι τοῦ ε, ἔτυπτον, τύπτον. ἔτυπτες, τύπτες. καὶ ὅλως χωρὶς αὐξήσεως ποιεῖν τοὺς παρωχημένους.

Παρακείμενος.

§. υκά. Τέτυφα, καὶ τετύφεα Ἰωνικῶς. Τέτυφας, τέτυφε.

Τετύφατον, ατον.

Τετύφαμεν, καὶ τετύφαμες Δωρικῶς.
τετύφατε, τετύφασι, καὶ τετύφανϰ Δωρικῶς.

Ὑπερσυντελικός.

§. υϰβ'. Ἐτετύφειν καὶ τετύφειν κατ' ἀφαίρεσιν τοῦ ε Ἀττικῶς. καὶ ἐτετύφεα Ἰωνικῶς, καὶ ἐτετύφη κατὰ συναίρεσιν. Ἐτετύφεις, τὸ τρίτον ἐτετύφειν Ἀττικῶς. καὶ ἔτι ἐτετύφη. Ἐτετύφειτον, ἐτετυφέτην. ἐτετύφειμεν, ετετύφειτε, ἐτετύφεισαν, καὶ ἐτετύφεσαν Ἀττικῶς. Ὁμοίως δὲ τούτοις καὶ ὁ Μέσος Παρακείμενος καὶ Ὑπερσυντελικός.

Ἀόριστος β'.

§. υϰγ'. Ὁδεύτερος Ἀόριστος, ὁμοίως τῷ Παρατατικῷ. τὸ δὲ εἶδοσαν, καὶ ἦλθοσαν, καὶ ἐμάθοσαν, καὶ τὰ τοιαῦτα, Χαλκιδωϰῆς εἰσὶ διαλέϰτου ϰαθ' ὁμοιότητα τοῦ ἔδοσαν.

Μέλλων

§. υϰδ'. Καὶ ὁ Μέλλων δὲ ὁμοίως τῷ Ἐνεστῶτι, πλὴν ὅσων παρὶ Δωριεῖς τοὺς βαρυτόνους Μέλλοντας περισπῶσι, τυψῶ, καὶ ποιησῶ, λέγοντες. οἱ δ' Αἰολεῖς τοὐναντίον τοὺς περισπωμένους Μέλλοντας βαρύνουσι, προστιθέντες σ· οἷον, χείρω χερῶ, χέρσω. φθείρω, φθερῶ, φθέρσω. Ἔτι δὲ καὶ τυφοῦντι λέγουσι Δωριεῖς, ἀντὶ τύψουσι, καὶ ποιησοῦ-

ντι ποιήσουσι.

Προστακτικά.

§. υϰέ. Τὰ δὲ προστακτικὰ, ὡς ἐν τῷ Α'. βιβλίῳ, πλὴν ὅτι τὸ Πληθυντικὸν τρίτον, τὸ τυπτέτωσαν, καὶ τυπτόντων γίνεται Ἀττικῶς, καὶ τὸ τυψάτωσαν, καὶ τυψάντων. Οἱ γὰρ Ἀττικοὶ τὸ πληθυντικὸν τρίτον τῶν ἐνεργητικῶν ῥημάτων, ὁμοφώνως προφέρουσι τῇ τῶν μετοχῶν πληθυντικῇ γενικῇ.

Εὐκτικὰ καὶ Ὑποτακτικά.

§. υϰϛ'. Καὶ τὰ εὐκτικὰ δὲ, καὶ ὑποτακτικὰ, ὡς ἐν τῷ Α'. Πλὴν ἐν ἐνίοις τῶν ὑποτακτικῶν δευτέρων προσώπων ἐνικῶν, προσίθεται τὸ θα, ἔθει Αἰολικῷ· οἷον, εἴπης, εἴπησθα. ἔλθης. ἔλθησθα, προσίθεται δὲ καὶ τοῖς τρίτοις τὸ σι, Ἰωνικῶς· οἷον, ἔλθῃ, ἔλθησι, λέγῃ, λέγησι.

Ἀπαρέμφατα.

§. υϰζ'. Ἐνεστὼς, τύπτειν, καὶ Δωρικῶς τύπτεν, καὶ Ἰωνικῶς τυπτέμεν, καὶ Αἰολικῶς τυπτέμεναι. Παρακ. τετυφέναι καὶ μέσος τετυπέναι. Ἀόρ. α' τύψαι Ἀόρ. β'. τυπεῖν, καὶ τυπέειν, καὶ τυπέμεν, καὶ τυπέμεναι, καὶ ἔτι τυπῆν Δωρικῶς καὶ Αἰολικῶς

κῶς. Ὁ Μέλλων ά. ὁμοίως τῷ Ἐνεστῶτι. καὶ ὁ Μέλλων β'. ὁμοίως τῷ Ἀορίστῳ β'.

Ὁριστικὰ Παθητικά.

Ἐνεστώς.

§. υκή. Τύπτομαι, τύπτη, καὶ τύπτεται Ἰωνικῶς, καὶ τύπτει Ἀττικῶς. Τυπτόμεθα, καὶ τυπτόμεσθα Δωρικῶς. τἆλλα δὲ, ὡς ἐν τῷ πρώτῳ βιβλίῳ.

Παρατατικός.

§. υκθ'. Ἐτυπτόμην, ἐτύπτου, καὶ Ἰωνικῶς ε, τύπτετο, καὶ Δωρικῶς ἐτύπτευ. τὸ τριτον ἐτύπτετο. Ἐτυπτόμεθα, καὶ ἐτυπτόμεσθα Δωρικῶς. τἆλλα δὲ, ὡς ἐν τῷ πρώτῳ.

Παρακείμενος.

§. υλ'. Τοῦ δὲ παρακειμένου τἆλλα μέν, ὡς ἐν τῷ Α'. τὸ δὲ πληθυντικὸν τρίτον, Ἰωνικῶς τετύφαται· αἱ γὰρ Ἴωνες ὅτι εὑρεθῇ πρὸ τοῦ τ, τοῦ ἐντὸς τρίτου προσώπου ψιλὸν σύμφωνον, τρέπουσιν αὐτὸ εἰς τὸ ἀντιστοιχοῦν θασύ, καὶ ποιοῦσι τρίτον πληθυντικὸν τὸ προσθέσει τοῦ α. οἷον, τέτυπτον, τετύφαται. λέλεκται, λελέχαται. εἰ μέν τοι εἴη πρὸ στοῦ τ, σ. τότε τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ αται. τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου. οἷον, πέπυσται, πεπράδαται. εἰδὲ ἀμεταβολον, φυλάττει αὐτὸ· οἷον, ἔψαλται, ἐψάλαται. εἰ δὲ ἡ μόνη εἴη πρὸ τοῦ τ, διαλύουσιν αὐτὸ εἰς εα· οἷον, πεπόιηται, πεποιέαται. οὕτω δὲ γίνεται Ἰωνικῶς, καὶ τὸ πληθυντικὸν τρίτον τοῦ ὑπερσυντελικοῦ. ἐτέτυφατο, ἐπεποιέατο.

Ἀόριστος ά. Καὶ β'.

§. υλά. Καὶ τῶν ἀορίστων δὲ, πρώτου καὶ δευτέρου, τἆλλα μέν, ὡς ἐν τῷ πρώτῳ· βιβλίῳ· τὸ δὲ πληθυντικὸν τρίτον, ἐτύφθησαν, καὶ ἐτύπησαν, Ἰωνικῶς, ἔτυφθεν, καὶ ἔτυπεν γίνεται, ἀπὸ τῆς γενικῆς τοῦ τυφθέντος καὶ τυπέντος, ἐκβολῇ τοῦτος. ὡς τὸ, ἤγερθεν, ἀντὶ ἠγέρθησαν· καὶ τράφεν, ἀντὶ ἐτράφησαν.

Μέσος Ἀόριστος ά.

§. υλβ'. Ἐτυψάμην, ἐτύψω, καὶ Ἰωνικῶς ἐτύψαο, ἐτύψατο. καὶ τἆλλα ὁμοίως τοῖς ἐν τῷ πρώτῳ.

Μέσος Ἀόριστος β'.

§. υλγ'. Ἐτυπτόμην, ἐτύπτου, καὶ Ἰωνικῶς ἐτύπεο, καὶ Δωρικῶς ἐτύπευ. τὰ δ' ἄλλα ὅμοια τοῖς ἐν τῷ ά.

Μέσος Μελλων α'.

§. υλδ'. Ὁ Μέσος Μελλων α. κατὰ τὸν ἐνεστῶτα ὅλου. Ἔτι δὲ καὶ περισπᾶται Δωρικῶς. τύψοῦ-

φοῦμαι, τυψῶ, τυψεῖται. οὕτω καὶ ποιησοῦμαι, ἀντὶ τοῦ ποιήσομαι. καὶ κεισοῦμαι, καὶ κεισοῦμαι, ἀντὶ τοῦ κείσομαι.

Προστακτικά.

§. υλέ. Τύπτου, καὶ Ἰωνικῶς τύπτεο, καὶ Δωρικῶς τύπτευ, τυπτέτω. Τὸ πληθυντικὸν τρίτον, τυπτέσθωσαν, καὶ Ἀττικῶς τυπτέσθων, κατὰ συγκοπήν. οὕτω καὶ τετύφθωσαν, καὶ τετύφθων καὶ τυψάσθωσαν, καὶ τυψάσθων. καὶ τυπέσθωσαν, καὶ τυπέσθων.

Εὐκτικά.

§. υλς'. Τὸ Πληθυντικὸν τρίτον, τύπτοιντο, καὶ Ἰωνικῶς τυπτοίατο, τροπῇ τοῦ ν εἰς α. ὁμοίως καὶ τύφαιντο, τυφαίατο, καὶ τύποιντο. τυποίατο. Τἆλλα δὲ, ὅμοια τοῖς ἐν τῷ πρώτῳ βιβλίῳ.

Ὑποτακτικά.

§. υλζ'. Ἐὰν τύπτωμαι, τύπτῃ, καὶ Ἰωνικῶς τύπτεαι καὶ τύπτηαι. τὸ τρίτον, τύπτηται καὶ τἆλλα, ὡς ἐν τῷ ά.

Ἀπαρέμφατα.

§. υλή. Τύπτεσθαι. Παρακ. τετύφθαι. Ἀόρ. β'. Τυφθῆναι, καὶ Δωρικῶς τυφθήμεναι, Ἀόριβ'. Τυπῆναι, καὶ Δωρικῶς τυπήμεναι. Καθόλου χρ[illegible]

Δωριεῖς ἐπὶ τῶν εἰς ναι, Ἀπαρεμφάτων τοῦ Ἀορίστου παρεντιθέασι τὴν με συλλαβὴν, καὶ εἰ μὲν μονοφθόγγῳ παραλήγει, φυλάττουσιν αὐτὸ τὸ παραλῆγον· οἷον, σῆναι, σήμεναι. βῆναι, βήμεναι. τυφθῆναι, τυφθήμεναι. εἰ δὲ διφθόγγῳ, ἀποβάλλουσι τὸ ἓν φωνῆεν· οἷον, θεῖναι, θέμεναι. δοῦναι, δόμεναι. Ἴωνες δὲ καὶ θέμεν, καὶ δόμεν λέγουσι, ἀποβολῇ τῆς ναι.

ΚΕΦ. Γ'.

Περὶ τῶν Περισπωμένων.

§. υλβ'. Τὰ Περισπώμενα δὲ πάντα, ἀσυναιρέτως ἐκφέρουσιν Ἴωνες, ὅσα κοινῶς συναιροῦνται ἔν τε τοῖς Ἐνεργητικοῖς, καὶ Παθητικοῖς, ἐπὶ πασῶν τε τῶν Ἐγκλίσεων, καὶ ἐπὶ τῶν Μετοχῶν.

§. υμά. Τὰ δὲ τῆς πρώτης Συζυγίας, ἐν οἷς ἡ συναίρεσις εἰς ου, Δωρικῶς, καὶ διὰ τῆς ευ ἐκφέρονται· οἷον, ποιέομεν, ποιοῦμεν, καὶ ποιεῦμεν. ποιέοντες, οὖντες, καὶ ποιεῦντες. ποιέομαι, οὔμαι, καὶ ποιεῦμαι. ποιεόμενοι, ούμενοι, καὶ ποιεύμενοι.

§. υμά. Τὰ δὲ τῆς δευτέρας Πληθυντικὰ τρίτα τρόσωπα. βοῶσι, γελῶσι. Δωριεῖς βοῶντι, καὶ γελῶντι λέγουσιν· ὡς Πίνδαρος. Ὑπὲρ τὸν ἀληθῆ λόγον δαιδαλμένοι ψεύδεσιν ἐξαπατῶντι μῦθοι. καὶ τὸ τίθησι δὲ, καὶ ὑφίησι, τίθητι, καὶ ὑφίητι λέγουσι. [illegible] εἰσί, ἐντί. [illegible] υμβ.

υμβ'. Ἔτι ἐπὶ τῶν τῆς δευτέρας Συζυγίας Ρημάτων, καὶ Μετοχῶν, παραντίθεται πολλαχῆ διὰ τὸ μέτρον Ἰωνικῶς τὸ ο, ἢ τὸ α. ἐν οἷς ἡ συναίρεσις εἰς ω, ἢ εἰς α. Ἡ δὲ τοιαύτη ἐπένθεσις ὁμόχρονος δὴ τῷ ὑπάρχοντι παραλληκτικῷ ἔσαι. βραχεῖα γὰρ, ἂν βραχύ· ὁρόω, βοόω ὁράα, βοάα. μακρὰ δὲ, ἂν μακρόν. μαιμώω, πηδώω, μαιμάα πηδάα.

§. υμγ'. Ἐπὶ δὲ τῆς τρίτης Συζυγίας ἐπένθεσις μὲν οὐ γίνεται. τρέπεται δὲ ἐσθ' ὅτε τὸ Ἰωνικὸν ο μικρὸν, εἰς ω μέγα διὰ τὸ μέτρον· οἷον, ἱδροῶντας, καὶ ἱδρώοντας.

Γενικαὶ Σημειώσεις.

§. υμδ'. Ἔτι οἱ Δωριεῖς τοὺς εἰς ον λήγοντας προπαροξυτόνους χρόνους, παροξυτονοῦσιν· οἷον, ἔλεγον, ἔτρεχον, ἔλοβον, ἔφαγον. Καὶ ἔτι τοὺς εἰς αν· οἷον, ἐχάσαν, ἔφησαν, ἐκαίξαν. Συνέλλουσι δὲ καὶ τῆς Μετοχῆς τὸ ας, νοήσας, καὶ πράξας λέγοντες. καὶ τὰ εἰς ε προσακτικα, εἰς ου προφέρουσιν· οἷον. φάγε, φάγου. θίγε, θίγου· δράμε, δράμου. Ἔτι πρὸ δίδου, δίδοι λέγουσι. καὶ ἄλλα δεύτερα, ὁμοίως τοῖς εὐκτικοῖς τρίτοις. Πίνδαρος. Τὸ δὲ πρᾶξιν φίλαν δίδοι Καὶ ταῖς τῶν Ἀορίστων δὲ Μετοχαῖς προστιθεασι τὸ ι· ὀλέσας, ὀλέσαις.

§. υμε'. Ἔτι Δωριέων ἴδιον καὶ τὸ ἀναδιπλασιάζειν τοὺς δευτέρους Ἀορίστους· οἷον, ἐκλελαθόμην καὶ

καὶ τετύκοντό τε δαῖτα.

§. υμς'. Ἰώνων δὲ τὸ ἀναυξήτως προφέρειν τοὺς παρωχημένους· ἄγω, ἄγον. φέρω, φέρον. ὀρχοῦμαι, ὀρχούμην.

§. υμζ'. Καὶ περισπώμενα δὲ ῥήματα ἀπὸ βαρυτόνων ποιοῦσιν Ἴωνες, συσέλλοντες τὴν παραλήγουσαν, ἢ τῇ ἀποβολῇ τοῦ ἑνὸς φωνήεντος τῆς διφθόγγου, ἢ τροπῇ τοῦ μακροῦ φωνήεντος εἰς βραχύ· οἷον, πείθω, πίθεω, ῶ. δαίω, δαέω, ῶ. κύρω, κυρέω, ῶ.

§. υμη'. Αἰολεῖς δὲ τοῦ παρατατικοῦ τὰ τρίτα προσωπα, λήγοντα εἰς ει, διὰ τοῦ η ἐνφέρουσιν. οἷον, ἐφίλη, ἐνόη. Ἔτι τὰ εἰς ην περισπώμενα ἀπαρέμφατα, ποιεῖν, καλεῖν, φρονεῖν. ποίεις λέγουσι, καὶ καλεις, καὶ φρόνεις· καὶ ἔτι ποίην, καίλην, φρόνην. Τὰ δὲ εἰς ους, χρυσοῦς, ὀρθοῦς, καὶ τὰ ὅμοια, χρύσοις, καὶ ὀρθοις λέγουσι. Καὶ τὰ δασέα δὲ ψιλῶς ἐνφέρουσιν ἐν ταῖς συνθέσεσιν· οἷον, ἐπορᾶν.

§. υμθ'. Ἔτι τῆς δευτέρας τῶν περισπωμένων ἐπὶ τοῦ ε'. καὶ γ'. προσώπου τὸ ι, ἀνεκφώνητον ὂν παρὰ ταῖς ἄλλαις διαλέκτοις, Αἰολικῶς ἐκφωνεῖται· βοαῖς, βοαῖ. Ἔτι ἀντὶ τοῦ ζ, τὸ σ καὶ δ, τιθεασιν Αἰολεῖς· οἷον, μελίσδειν. Καὶ ἀντὶ τοῦ θ, τὸ φ λαμβάνουσιν· οἷον, ὄφεται, φλάσαι, θηρσὶ, φηρσί.

Περὶ

Περὶ τῶν κατὰ τοὺς Ποιητὰς διπλασιασμῶν τῶν Συμφώνων.

§. υἱ. Οὐκ ἔξω δὲ τούτων οὐδὲ οἱ τῶν Ποιητῶν διὰ τὸ μέτρον διπλασιασμοὶ τῶν συμφώνων. τὰ γὰρ ἀπὸ τοῦ δ, ἢ σ, ἤτου τῶν ἀμεταβόλων ἀρχόμενα ῥήματα διπλατιάζουσι, κλινόμενα εἰς παρατατικὸν, καὶ ἀόριστον· οἷον, ἔδδεσεν, ἔσσυτο, ἔλλαχεν, ἔμμορεν, ἔνναιεν· τὸ δ' ἔῤῥεεν, κοινόν. καὶπὶ τῶν ὀνομάτων δὲ τά τε ἀμεταβόλα, καὶ τὸ σ· ἄλλητον, ἀννοσίγαιος, παῤῥαλίη, Μέσσον. Καὶ μέντοι τὸ σ, καὶ ἐπὶ τῶν Μελλόντων, καὶ Ἀορίστων· οἷον, σέσσω, ἔσβεσσα. γελασσω, ἐγέλασσα· τὸ δὲ κάββαλεν, καὶ κάππεσεν, καὶ τὰ τοιαῦτα, οὐχ ἕνεκα μέτρου διπλασιάζεται, ἀλλὰ τοῦ τ, μεταβαλλοντος εἰς τὸ ἑπόμενον σύμφωνον δι' εὐφωνίαν, ἀποκοπέντος τοῦ α. κατάβαλεν, κάββαλεν. κατὰ δὲ, καδδέ. Ἔτι τὸ δ, καὶ π ἐν τοῖς ἐπιῤῥήμασιν· ἄδδην, ὀππότε. καὶ τὸ τ, ἐν τῷ ὅττι.

ΚΕΦ. Δ'.

Περὶ Ἀντωνυμίας.

Πρωτότυποι.

§. υνα'. Ἐγὼ κοινῶς, ἔγωγε Ἀττικῶς, ἐγὼν καὶ ἐγών· Δωρικῶς ἐμοῦ κοινῶς ἐμέο δε, καὶ ἐ[illegible] καὶ

καὶ ἐμέοθεν, καὶ ἐμέθεν Ἰωνικῶς. ἐμεῦ δὲ Δ[illegible]κῶς καὶ Αἰολικῶς. ἐμοὶ κοινῶς, ἐμὶν δὲ Δωρικῶς, ἔμε, καὶ με. Νωϊ, καὶ νὼ. καὶ Δωρικῶς ἄμε, κ[illegible] ἄμμε Αἰολικῶς· νῶϊν, καὶ νῶν. Ἡμεῖς κοινῶς, κα[illegible] ἡμέες. Ἰωνικῶς, καὶ ἄμμες Δωρικῶς, καὶ ἄμμες Αἰολικῶς. Ἡμῶν κοινῶς, καὶ ἡμέων Ἰωνικῶς, καὶ ἡμείων, καὶ Δωρικῶς ἀμῶν. καὶ ἀμμέων Αἰολικῶς. Ἡμῖν κοινῶς καὶ ἡμὶν παρὰ Ποιηταῖς ὀξυτόνως, ὅτε καὶ τὸ ι βραχύ ἐστι. ἄμμι δὲ Δωρικῶς, καὶ ἄμμιν Αἰολικῶς. Ἡμᾶς Κοινῶς, καὶ ἡμέας Ἰωνικῶς, καὶ ἀμᾶς Δωρικῶς, καὶ ἄμμας Αἰολικῶς.

Τοῦ Δευτέρου Προσώπου.

§. υνβ'. Σὺ Κοινῶς, καὶ Δωρικῶς τὺ, καὶ τύνη. σοῦ Κοινῶς, καὶ Ἰωνικῶς σέω, καὶ σεῖο. Ἀττικῶς σέοθεν, καὶ σάθεν. Δωρικῶς δὲ, καὶ Αἰολικῶς σεῦ, καὶ τεῦ. Σοὶ κοινῶς, καὶ Δωρικῶς τοὶ, καὶ τὶν, καὶ τεῖν. Σὲ κοινῶς, καὶ Δωρικῶς τὲ, καὶ τύ. σφῶϊ. καὶ σφὼ, καὶ Δωρικῶς ὔμε, καὶ Αἰολικῶς ὔμμε, Σφώϊν, καὶ σφῶν. Ὑμεῖς, κοινῶς, καὶ ὔμες Δωρικῶς, καὶ ὔμμες Αἰολικῶς. Ὑμῶν κοινῶς, Ἰωνικῶς ὑμέων, καὶ ὑμείων. καὶ Αἰολικῶς ὑμμέων. Ὑμῖν, καὶ ὑμὶν ὀξυτόνως παρὰ τοῖς τραγικοῖς Ποιηταῖς, βραχὺ τὸ ι λαμβάνουσι. καὶ ὔμιν Δωρικως. Αἰολικῶς δὲ ὔμμι, καὶ ὔμμιν. ὑμᾶς κοινῶς καὶ ὑμέας Ἰωνικῶς· καὶ ὔμας Δωρικῶς καὶ ὔμμας Αἰολικῶς.

Τοῦ

Τοῦ Τρίτου Προσώπου.

§. υγ'. Ἡ ὀνομαστικὴ, ὃς Κοινῶς, καὶ ὃ, κατὰ παλαιοὺς. ἡ γενικὴ, οὗ Κοινῶς, καὶ ἕο, καὶ εἷο Ἰωνικῶς, καὶ Ἀττικῶς ἕθεν, καὶ ἕθεν· Δωρικῶς δὲ, καὶ Αἰολικῶς εὗ. ἡ δοτικὴ, οἷ, καὶ Ἀττικῶς ἑῖ. ἡ αἰτιατικὴ, ἕ, καὶ ἕθεν, καὶ ἕε. Δυϊκ. ἡ ὀνομας. καὶ αἰτιατ. σφῶε, καὶ σφέ. ἡ γεν. καὶ δοτ. σφοῖν καὶ σφῷν, καὶ σφίν. Πληθυντ. ἡ ὀνομ. σφεῖς Κοινῶς, καὶ σφέες Ἰωνικῶς, καὶ σφὲς Δωρικῶς. ἡ γεν. σφῶν Κοινῶς, καὶ Ἰωνικῶς σφέων, καὶ σφείων. ἡ δοτικ. σφίσι, καὶ σφῖν, καὶ σφί. ἡ αἰτιατικ. σφᾶς Κοινῶς, καὶ σφέας Ἰωνικῶς, καὶ ψὲ Δωρικῶς.

§. υνδ'. Τὸ δὲ ἐμεῖο, καὶ σοῖο, καὶ εἷο, οὐ γίνεται ἀπὸ τῶν πρωτοτύπων, ἀλλ' ἀπὸ τῆς γενικῆς τῶν κτητικῶν, τοῦ ἐμοῦ καὶ σοῦ, καὶ οὗ, ἔθοι Ἰωνικῶ.

Κτητικαί.

§. υνε'. Τοῦ πρώτου Προσώπου, ἐμὸς, ἐμὴ, ἐμόν.

Τοῦ δευτέρου Προσώπου, σὸς, σὴ, σόν. καὶ Ποιητικῶς, τεός, τεὰ, τεόν.

Τοῦ τρίτου Προσώπου, ἑὸς, ἑὴ, ἑόν. καὶ ὃς, ἥ, ὃν. Ἐπ νωίτερος, νωίτατα, νωίτερον. σφωίτερος, σφωίτατα, σφωίτερον. ἡμέτερος, ἡμετέρα, ἡμέτερον. ὑμέτερος, ὑμετέρα, ὑμέτερον. σφέτερος, σφετέρα, σφέτερον.

§. υνς'.

§. υνς'. Ἔσι δὲ παρὰ Ποιηταῖς ἔτι καὶ ἀμμὲ, ἀμόν. ἀντὶ ἡμέτερος, ἡμετέρα, ἡμέτερον. καὶ ὑμὸς, ὑμὴ, ὑμόν. ἀντὶ ὑμέτερος, ὑμετέρα, ὑμέτερον. καὶ σφὸς, σφὴ, σφὸν, ἀντὶ σφέτερος, σφετέρα, σφέτερον.

Δεικτικαί.

§. υνζ'. Οὗτος, καὶ Ἀττικῶς κατὰ προσγηματισμὸν, οὑτοσὶ, καὶ τουτουὶ, καὶ τουτωὶ, καὶ τουτονὶ. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. Ἐν δὲ ταῖς οὐδετέροις τουτοὶ, καὶ τουτὶ, καὶ ταυταὶ, καὶ ταυτὶ. Ἐκεῖνος, ἐκείνου, καὶ κεῖνος, κείνου ἀφαιρέτει τοῦ ε Ποιητικῶς. Καὶ ἐκεινοσὶ, ἐκεινουὶ Ἀττικῶς. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.

§. υνή'. Καὶ αἱ Ἀρθρικαὶ δὲ ὡσαύτως, ὅδε, καὶ ὁδί. τοῦδε, τῷδε, τόνδε. Ἥδε, τῆς δε, τῇ δε, τήν δε. Τόδε, καὶ τοδί. τοῦδε, τῶδε, τόδε, καὶ τοδί. Αἱ δὲ θηλυκαὶ καὶ Δωρικῶς λέγονται, ἅδε, τᾶς δε, τᾷ δε, τάνδε.

§. υνθ'. Ἔτι καὶ ὅ, αὐτὶ τοῦ οὗτος λέγουσι Ποιηταί. καὶ ἥ, ἀντὶ τοῦ αὕτη. καὶ ὅγε, τοῦγε, ἥγε, τῆς γε, ὅγε, τοῦγε. ἀντὶ Δεικτικῶν.

Ἀναφορικαί.

§. υξ'. Αὐτὸς, αὐτοῦ, αὐτῷ, αὐτόν. Καὶ Ἰωνικῶς ὠυτὸς, ὠυτοῦ, ὠυτῷ, ὠυτόν. καὶ αἱ λοιπα ὁμοίως.

§. υξά'.

§. υξά. Εὑρίσκονται δὲ παρὰ Ποιηταῖς καὶ ἄλλαι ἀντωνυμίαι μονόπτωτοι καὶ μοναδικαὶ καλούμεναι· οἷον ἐμὶν ἀντὶ ἐμοί· καὶ τίν, καὶ τεὶν ἀντὶ σοί, καὶ σφὲ ἀντὶ αὐτόν, καὶ μίν, καὶ νίν, ἀντὶ αὐτὸν, αὐτὴν, αὐτό. καὶ ἔτι ἀντὶ αὐτοὺς, αὐτὰς, αὐτά. καὶ ψε, ἀντὶ αὐτὰς Δωρικῶς.

ΚΕΦ. Ε'.

Περὶ Προθέσεως.

§. υξβ'. Ἡ ἐν, καὶ εἰν Ποιητικῶς λέγεται, καὶ ἐνὶ, καὶ ἔνι κατὰ Ἀναιρεσιν. Ἡ εἰς, καὶ ες, Ἀττικῶς. καὶ ἐν Δωρικῶς. Ἡ σὺν, καὶ ξὺν, Ἀττικῶς. Ἡ πρὸς, καὶ ποτὶ Δωρικῶς, καὶ προτί. Ἡ κατά. καὶ κάτα, κατ' Ἀναιρεσιν. καὶ ἡ μετὰ, μέτα. καὶ ἡ ἐπὶ, ἔπι. καὶ ἡ περὶ, πέρι. καὶ ἡ ἀπὸ, ἄπο. Ἡ δὲ ὑπὸ, καὶ ὑπαὶ λέγεται. καὶ ἡ παρὰ, πραί. καὶ ἡ ὑπὲρ, ὑπείρ.

§. υξγ'. Τὴν παρὰ, συγκόπτουσι Δωριεῖς Συμφώνου ἐπιφερομένου· οἷον, παρ' ζηνί. καὶ τὴν Ἀνά. ἄντεινον, ἀντὶ τοῦ ἀνάτεινον.

§. υξδ'. Κλεκ δὲ, κατταδὲ λέγουσιν, ἀντὶ τοῦ, κατα τάδε. καὶ καδδὲ, ἀντὶ τοῦ, κατὰ δέ. καὶ ὑβάλλειν, ἀντὶ τοῦ ὑποβάλλειν. καὶ ποττὰν μητέρα, ἀντὶ πρὸς τὴν μητέρα.

ΚΕΦ. ς'.

Περὶ Ἐπιρρήματος.

§. υξε'. Τὸ νῦν, Ἀττικοὶ καὶ νυνὶ λέγουσι· καὶ τὸ σήμερον, τήμερον, καὶ τὸ πάρρω, πόρσω. Ἀττικοὶ δὲ καὶ τὸ Ἀθήναζε, καὶ Ἀθήνησι, καὶ Ἀθηνηθεν τὰ τοιαῦτα. καὶ ἔτι τὸ οἴκαδε, καὶ οἴκοι.

§. υξς'. Ἴωνες δὲ τὸ ἔσω, εἴσω λέγουσι. καὶ τὸ ἔως, εἶως. καὶ τὸ ἐκεῖσε, κεῖσε. καὶ τὸ ἐπάν, ἐπεάν. καὶ τὸ ἐνταῦθα, ἐνταῦτα. καὶ τὸ αὖθις, αὖτις. καὶ τὸ πῶς, κῶς. καὶ τὸ ὁπότε, ὁκότε. Ἔτι τῶν τῆς μεσότητος διαιροῦσι τὸ ὡς εἰς εως, τῶν ἀπὸ τῆς πρώτης τῶν συνηρημένων δηλονότι· οἷον, ἀληθῶς, ἀληθέως. ἀτρεκῶς, ἀτρεκέως.

§. υξζ'. Δωριεῖς δὲ τὰ τῆς μεσότητος βαρύτονα περισπῶσιν· οἷον, παντῶς, αὐτομάτως, οὑτῶς. τὰ δὲ περισπώμενα, βαρυτονοῦσιν· οἷον, σόφως, κάλως, ἅπλως, καὶ τὰ ὅμοια. καὶ τὸ ποτὲ, πόκα λέγουσι. καὶ τὸ ὅτε, ὅκα, καὶ ὅκκα· ὡς ὁ Θεόκριτος Πᾷ πόκ' ἄρ' ἦσθ' ὅκα, Δάφνις ἐτάκετο; καὶ τὸ πάντη δὲ, παντᾷ· καὶ τὸ οἴκαδε, οἴκαδες. καὶ τὸ ὡς, τώς. καὶ τὸ πρώην, πράν. καὶ τὸ πλὴν, πλάν. καὶ Τῆμος, καὶ ἦμος, ἀντὶ τοῦ τότε, καὶ ὅτε λαμβάνουσι· καὶ τὸ ἰδού, ἴνιδα λέγουσι Θεόκρ. ἴνιδέ τοι τὸ τέπας. καὶ μὰ, ἔξωθεν λαμβάνουσι, Θεόκρ. μὰ γᾶν. ἀντὶ τοῦ, οὐ μὰ τὴν γῆν.

Περὶ Συνδέσμων.

§. ρἠ. Ὁ μὲν, καὶ μὲς Δωρικῶς λέγεται. καὶ ὁ ὅτι, ὄττι. Ὁ οὖν, καὶ ὧν Ἰωνικῶς. καὶ ὁ ἕνεκα, εἵνεκα, καὶ οὕνεκα. καὶ ὁ μὴν, μὲν, καὶ μάν. Ἔτι ἀντὶ τοῦ ἂν, κεν, ἦκε, οἱ Ποιηταὶ λέγουσι. παραπληρωματικῶς δὲ, καὶ ῥα, καὶ νυ. Τοσαῦτα μὲν περὶ Διαλέκτων.

ΚΕΦ. Ζ'.

Περὶ τῶν τῆς Λέξεως Παθῶν.

§. υξθ'. Ἐπεὶ δὲ τὰ τῆς λέξεως πάθη τῶν Διαλέκτων εἰσὶ, ῥητέον ἰδίᾳ καὶ περὶ αὐτῶν καὶ ὁριστέον ἐνταῦθα. Ἔστι μὲν οὖν, ὡς ἐν γένει εἰπεῖν, τὰ Πάθη ταυτὶ τῆς λέξεως, πέντε· Πλεονασμὸς, Ἔνδεια, Μετάθεσις, Μετάληψις. καὶ Τμῆσις. τούτων δὲ ὁ μὲν Πλεονασμὸς, καὶ ἡ Ἔνδεια εἰς διάφορα τέμνεται εἴδη. τὰ δὲ λοιπὰ ἄτμητά εἰσι. καὶ Πλεονασμοῦ μὲν εἴδη, ἑνδέκα. Πρόθεσις, Ἀναδιπλασίασις, Ἔκτασις, Ἐπέκτασις, Διαίρεσις, Παρένθεσις, Διπλασιασμὸς, παρέμπτωσις, καὶ Προσχηματισμός. τοσαῦτα δὲ καὶ τῆς Ἐνδείας, Ἀφαίρεσις, Ἄρσις, Συζολὴ, Συγκοπὴ, Συναλοιφὴ, Ἔλλειψις, Παρέκλειψις, Ἔκθλιψις, καὶ Ἀποκοπή. Ἀντίκειται οὖν ἡ Πρόθεσις μὲν Ἀφαιρέσει. Ἀναδιπλασίασις δὲ, Ἄρσει. Ἔκτασις, Συζολῇ. Ἐπέκτασις, Συγκοπῇ. Διαί-

Διαίρεσις, Συναλοιφῇ. Παρένθεσις, Ἔλλειψει. Διπλασιασμὸς, Παρελλείψει. Παρέμπτωσις, Ἐκθλίψει. καὶ Προσχηματισμὸς, Ἀποκοπῇ. ὡς ἐκ τῶν ὁρισμῶν αὐτῶν ἔσται δῆλον.

Πρόθεσις.

§. υο'. Πρόθεσις τοίνυν ἐστὶ, προσθήκη στοιχείου κατ' ἀρχὴν τῆς λέξεως· οἷον, σάχυς, ἄσαχυς.

Ἀναδιπλασίασις.

§. υοα'. Ἀναδιπλασίασις δέ ἐστιν, ἡ τῶν πρώτων ἢ δευτέρων συλλαβῶν τῆς λέξεως διὰ τῶν αὐτῶν συμφώνων, ἢ τῶν ἀντιστοίχων ἐπάλληλος ἐκφορά. οἷον, τετύκοντο. τεθήπασι.

Ἔκτασις.

§. υοβ'. Ἔκτασις δέ ἐστιν, ὅταν τὰ συσελλόμενα δέχρονα ἐκταθῇ· οἷον, καλὸς, καλὸς. ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μετατεθῇ· οἷον, κόρη, κώρη.

Ἐπέκτασις.

§. υογ'. Ἐπέκτασις δέ ἐστι, πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὁμοτόνου λέξεως· οἷον, εὔτυχον, εὐτύχεον. ἀδελφὸς, ἀδελφειός. πολέμια, πολεμήϊα.

Διαί-

Διαίρεσις;

§. ϟδ'. Διαίρεσις δέ ἐστι, συλλαβῆς ἀνάλυσις, ἢ διάσταλις εἰς δύο· οἷον, παὶς, παΐς. βέλους, βέλεος. τὸ δὲ πάθος Ἰώνων, καὶ Θετταλῶν.

Παρένθεσις.

§. υοε'. Παρένθεσις δέ ἐστι, προσθήκη φωνήεντος κατὰ μέσον. μὴ ποιοῦντος συλλαβήν· πνέοντος, πνείοντος· νόσος, νοῦσος. ἐλήλυθας, εἰλήλουθας. Ἰώνων δὲ καὶ τοῦτο.

Διπλασιασμός.

§. υος'. Διπλασιασμὸς δέ ἐστι, τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ μέσον, οὐκ ἀποτελοῦντος συλλαβήν. οἷον, ὅτι, ὅττι. μέσον, μέσσον. ἔνεπε, ἔννεπε. Ἰώνων δὲ πάθος καὶ τοῦτο.

Παρέμπτωσις.

§. υοζ'. Παρέμπτωσις δέ ἐστι, προσθήκη συμφώνων, κατὰ μέσον οὐκ ἀποτελοῦντος συλλαβήν. οἷον πολις, πτόλις. πόλεμος, πτόλεμος.

Προσχηματισμός.

§. υοη'. Προσχηματισμὸς δέ ἐστι, προσθήκη συλλαβῆς κατὰ τὸ τέλος. ἔστι δὲ τῶν τεσσάρων Διαλέκτων ἴδιος. [illegible]ην, λόγοις, λόγοισι. μούσαις. [illegible]σι.

σαισ. πρόσωπα, προσώπατα. ταῦτα μὲν περὶ [illegible]λεονασμοῦ, λεκτέον δὲ καὶ περὶ τῆς Ἐνδείας.

Ἔνδεια.

§. υοθ'. Ἔνδειά ἐστι, στοιχείου ἀφαίρεσις, ἢ συλλαβῆς· οἷον, γαῖα, αἶα. ἐκεῖνος, κεῖνος. εἴδη δὲ Ἐνδείας, τάδε.

Ἄρσις.

§. υπ'. Ἄρσις δέ ἐστιν, ἀποβολὴ τῆς κατ' ἀρχὴν ἀναδιπλασιάσεως· οἷον, δεδέχθαι, δέχθαι· βεβλημένος, βλημενος. Ἰώνων δὲ τὸ πάθος.

Συστολή.

§. υπά'. Συστολή δέ ἐστιν, ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῇ, ἢ τὰ μακρὰ εἰς τὰ βραχέα ἀντίστοιχα αὐτῶν μετατεθῇ· οἷον, ἥρες, ἄρες, ζωός, ζοός.

Συγκοπή.

§. υπβ'. Συγκοπὴ δέ ἐστιν, ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον· οἷον, κακόμορος, κἀμμορος. δασύσκιον, δάσκιον.

Συναλοιφή.

§. υπγ'. Συναλοιφὴ δέ ἐστι, δύο συλλαβῶν κατὰ φωνήεντα ἕνωσις· εἴδη δὲ συναλοιφῆς [illegible]ρία, Συναίρεσις, Κρᾶσις, καὶ Θλῖψις.

Συ-

Συναίρεσις.

§. υπδ'. Ἔσι δὲ συναίρεσις μὲν, δύο φωνήεντων φυλαττομένων συναλοιφή· οἷον, νηπιάδες, ἠρῆδες. ὄφεϊ, ὄφει,

Κρᾶσις.

§. υπε'. Κρᾶσις δὲ, δύο φωνήεντων ἀλλοιουμένων συναλοιφή· οἷον, δημοσθένεος, δημοσθένους.

Θλῖψις.

§. υπς'. Θλῖψις δὲ, δυοῖν συλλαβῶν κατ' ἀποβολὴν φωνήεντος συναλοιφή. οἷον, ἐπὶ ἐμὲ, ἐπ' ἐμέ.

Ἔλλειψις.

§. υπζ'. Ἔλλειψις δέ ἐσιν. ἀποβολὴ φωνήεντος κατὰ τὴ μέσον, οὐ ποιοῦντος συλλαβὴν οἷον, γεραϊὸν, γεραὸν.

Παρέλλειψις.

§. υπη'. Παρέλλειψις δὲ, ὅταν τι τῶν διπλασιαζομένων συμφώνων παραλείπηται· οἷον, κάλλιον, κάλιον. θάσσον, θᾶτον.

Ἔκθλιψις.

§. υπθ'. Ἔκθλιψις δέ ἐσιν, ἀποβολὴ συμφώνου κατὰ τὸ μέσον οὐ ποιούντος συλλαβήν· οἷον, σκάπτρον, σκῆπτρον.

Ἀποκοπή.

§. υπ'. Ἀποκοπὴ δέ ἐσιν, ἀφαίρεσις σιλλαβῆς κατὰ τὰ τέλος· οἷον, δῶμα. δῶ. Ἀπόλλωνα. Ἀπόλλω. ταῦτα, καὶ περὶ Ἐλλείσης, λεκτέον δὲ καὶ περὶ τῶν λοιπῶν.

Μετάθεσις.

§. υπα'. Μετάθεσίς ἐσι, σοιχείου μετακίνησις ἐκ τῆς ἰδιας τάξεως ἐφ' ἑτέραν· οἷον, καρδία, κραδία. κράτος, κάρτος. καλεῖται δὲ καὶ ἐναλλαξις, καὶ ὑπέρθεσις. ἔσι δὲ Ἰώνων τὸ πάθος.

Μετάληψις.

§. υπβ'. Μετάληψις δέ ἐσι, σοιχείου μεταβολή· οἷον, ἀπεδανὸς, ἠπεδανός. αἱμοπότης, αἱμηπάτης.

Τμῆσις.

§. υπγ'. Τμῆσις δέ ἐσι, λέξεως συνθέτου ἀνάλυσις εἰς δύο· οἷον, ἀκρόπολις, ἄκρα πόλις. τοσαῦτα καὶ περὶ τῶν κατὰ Διαλέκτους παθῶν τῆς λέξεως.

ΒΙΒΛΙΟΝ Γ.

Περὶ Προσῳδίας καὶ Ὀρθογραφίας.

Προοίμιον.

§. υηδ. Μετὰ τὸν περὶ Κλίσεως, καὶ σχηματισμοῦ λόγον, λεκτέον ἤδη περὶτε Προσῳδίας, καὶ Ὀρθογραφίας τῶν τοῦ λόγου μερῶν, ἵνα μὴ τὸ περὶ λέξιν ἁμάρτημα, ὁ βαρβαρισμὸς συμβαίνῃ. βαρβαρίζων γάρτις ἐλέγχεται, ἢ Ἐνδείᾳ, Δημοσθένου. ἢ Πλεονασμῷ, Αἰσχύνους. ἢ Ἐναλλαγῇ, Αἰνεία· ἢ Προσῳδίᾳ, ἀγνὲς τῇ ψιλῇ, δέον τῇ δασείᾳ· ἢ γραφῇ, νίκος τῷ ι, δέον τῇ ει. Καὶ εἰς μὲν τὸ ὀρθὸν, παρά τε Ἔνδειαν καὶ πλεονασμὸν, καὶ Ἐναλλαγὴν, οἰκεῖα τὰ ἐν τῷ πρώτῳ βιβλίῳ περὶ Κλίσεως, καὶ Σχηματισμοῦ εἰρημένα. Περὶ δὲ τῶν λοιπῶν νῦν λέγωμεν, καὶ πρῶτόν γε περὶ Προσῳδίας. λεκτέον δὲ πρότερὸν περί τε συλλαβῆς, καὶ γραμμάτων.

§. υιέ. Ταῦτα μὲν οὖν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. Συλλαβὴ δὲ, συνέλευσις τοὐλάχιστον δύο γραμμάτων, καὶ πρώτως ὑποκείμενον Προσῳδίαις· λέγεται μέντοι καταχρησικῶς καὶ τὸ μονογράμματον συλλαβή· οἷον α, ε, ο.

ΠΕΡΙ ΠΝΕΥΜΑ'ΤΩΝ. 151

ΤΜΗΜΑ Α'.

Περὶ Προσῳδίας.

§. υιϛ'. Προσῳδία τοίνυν ἐστὶ, τάσις ποιὰ τις φωνῆς ἐγγραμμάτου πρὸς εὐφωνίαν τοῦ ὅλου λόγου.

§. υιζ'. Εἰσὶ δὲ Προσῳδίαι ὀκτὼ, Ψιλὴ (᾽), Δασεῖα (῾), Ὀξεῖα (΄), Βαρεῖα (`), Περισπωμένη (῀), Ἀπόστροφος (᾽), Ὑφὲν (‿), καὶ Ὑποδιαστολὴ (,). Ὧν Πνεύματα μὲν δύο, ψιλὴ, καὶ δασεῖα. Τόνοι δὲ τρεῖς. Ὀξεῖα, Βαρεῖα, περισπωμένη. Πάθη δὲ, τρία· Ἀπόστροφος, Ὑφὲν, καὶ Ὑποδιαστολή.

Τόποι τῶν Πνευμάτων.

§. υιη'. Τίθενται δὲ τὰ Πνεύματα ἐπὶ τῶν φωνηέντων ἐν ἀρχῇ τῆς λέξεως ἀπὸ φωνήεντος ἀρχομένης. Ἕκαστον γὰρ τῶν φωνηέντων ἀρκτικόν ἐν, ἢ δασύνεται, ἢ ψιλοῦται. ἐπὶ τίνων δὲ πότερον, ἑξῆς λέγομεν.

§. υιθ'. Περὶ τοῦ Α. Κανόνες.

Τὸ α πρὸ τοῦ α, ψιλοῦται· οἷον, Ἀαρών.

Τὸ α πρὸ τοῦ β, ψιλοῦται· οἷον, ἀβλαβὴς. εἰμὶ δὲ ρ, ἐπιρέροιτο· ἄβρα.

Τὸ α πρὸ τοῦ γ, ψιλοῦται· οἷον, ἀγών. πλὴν τοῦ ἁγνὸς, καὶ ἅγιος, καὶ τῶν ἀπὸ τούτων παραγωμένων· οἷον, ἁγνότης, ἁγιότης.

Τὸ α πρὸ τοῦ δ, ψιλοῦται· οἷον, ἄδω. πλὴν τοῦ ἅδης.

ᾶμις καὶ ἀδρός.

Τὸ α πρὸ τοῦ ε, ψιλοῦται. οἷον, ἀετός.

Τὸ α πρὸ τοῦ ζ, ψιλοῦται· οἷον, ἀζηχές. πλὴν τοῦ ἄζομαι, τὸ σέβομαι,

Τὸ α πρὸ τοῦ θ, ι, κ, ψιλοῦται· οἷον, ἀθάρα. ἀίσσω, ἄκρα.

Τὸ α πρὸ τοῦ λ, ψιλοῦται· οἷον, ἄλλος. εἰμὴ τὸ μ, ἐπάγοιτο· οἷον, ἀλμυρός. καὶ πλὴν τοῦ ἅλς, ἁλῶ, τὸ κρατῶ, ἅλις, ἁλίζω, ἅλως, ἅλωσις, Ἁλικαρνασὸς, ἅλλομαι.

Τὸ α πρὸ τοῦ μ, ψιλοῦται. πλὴν τοῦ ἅμα καὶ τῶν ἐξ αὐτοῦ, ἁμιλλα, ἁμαρτία, ἅμμα τὸ σχοινίον, ἅμης, ἁμίς.

Τὸ α πρὸ τοῦ ν, ψιλοῦται· οἷον, ἀνά. πλὴν τοῦ ἀνδάνω, τὸ ἀρέσκω.

Τὸ α πρὸ τοῦ ξ, καὶ ο, ψιλοῦται· οἷον, ἄξιος, ἀορ.

Τὸ α πρὸ τοῦ π, ψιλοῦται· οἷον, ἀπό, πλὴν τοῦ ἅπαξ, ἁπλοῦς, ἅπας, ἁπαλος, ἅπτομαι.

Τὸ α πρὸ τοῦ ρ, ψιλοῦται· οἷον, ἄρα. εἰμὴ τὸ μ, ἐπάγοιτο, ἢ τὸ π· οἷον, ἅρμα, ἁρπάζω.

Τὸ α πρὸ τοῦ σ, ψιλοῦται ἀεί· οἷον, ἀσκῶ.

Τὸ α πρὸ τοῦ τ, ψιλοῦται· οἷον, ἄτερ· πλὴν τοῦ ἅττα, ἀντὶ ἅτινα. καὶ ἅτερος, ἀντὶ ὁ ἕτερος.

Τὸ α πρὸ τοῦ φ, καὶ χ, ψιλοῦται· οἷον. Ἀφροδίτη Ἀχαιός.

Τὸ α πρὸ τοῦ ψ, ψιλοῦται· οἷον, ἄψ. πλὴν τοῦ ἁψὶς, ἅψεα, τὰ μέλη.

Τὸ

Τὸ α πρὸ τοῦ ω, ψιλοῦται· οἷον, ἄωτος.

§. φ. Περὶ Τοῦ Ε. Κανόνες.

Τὸ ε πρὸ τοῦ α. δασύνεται· οἷον, ἑαυτοῦ· πλὴν τοῦ ἔαρ, ἑάω, ἐάν.

Τὸ ε πρὸ τοῦ β, ψιλοῦται· οἷον, ἕβδομος, πλὴν τοῦ ἑβδομήκοντα, ἑβδομήκοντος, ἑβδαῖος.

Τὸ ε πρὸ τοῦ γ, ψιλοῦται· οἷον, ἐγείρω.

Τὸ ε πρὸ τοῦ δ, ψιλοῦται· οἷον, ἔδω. πλὴν τοῦ ἕδος, τὸ ἔδαφος. ἐδεῖται, ὅθεν τὸ καθεδεῖται. ἑδρα.

Τὸ ε πρὸ τοῦ ε, ψιλοῦται· οἷον, ἑτῶς. πλὴν τοῦ ἐέλδωρ, ἡ ἐπιθυμία.

Τὸ ε πρὸ τυῦ ζ, δασύνεται· οἷον, ἕζομαι.

Τὸ ε πρὸ τοῦ θ καὶ ι, ψιλοῦται· ἔθος, ἔϊκτος.

Τὸ ε πρὸ τοῦ κ, δασύνεται· οἷον, Ἑκάβη. πλὴν τοῦ ἐκυρὸς καὶ ἐκεχειρία.

Τὸ ε πρὸ τοῦ λ, ἢ ἑνὸς ἢ διττοῦ ψιλοῦται· οἷον, ἐλέγχω, ἐλλόγιμος. εἰμὴ τὸ κ ἐπαγοιτο· οἷον, ἑλκω. καὶ πλὴν τοῦ ἕλλην, ἕλη, ἑλλίσσοντος, ἕλινος ἑλένη, ἕλος, ἕλω, ἑλίσσω, ἑλικὼν, ἕλιξ.

Τὸ ε πρὸ τοῦ μ, ψιλοῦται· οἷον, Ἐμὲ.

ε πρὸ τοῦ ν, ψιλοῦται· Ἕνεκα δὲ καὶ ἓν ἐξαιρεῖται.

Τὸ ε πρὸ τοῦ ξ, ψιλοῦται. οἷον, ἐξ. πλὴν τοῦ ἕξ, ἕξω, ἕξεις, ἕξις, ἑξῆς.

Τὸ ε πρὸ τοῦ ο, δασύνεται· οἷον, ἑαυτὸν.

Τὸ

Το ε πρὸ τοῦ π, ψιλοῦται· οἷον, ἕπος· πλὴν τοῦ ἑπτὰ καὶ ἑπτάκις.

Τὸ ε πρὸ τοῦ ρ, ψιλοῦται· οἷον, ἐρίζω. πλὴν τοῦ ἔρχος, Ἑρμῆς, ἕρση, ἕρδω.

Τὸ ε πρὸ τοῦ σ, ψιλοῦται· οἷον, ἔσχατος. εἰμὴ τὸ τ ἐπάγοιτο. οἷον, ἑστιάω.

Τὸ ε πρὸ τοῦ τ, ψιλοῦται· οἷον, ἔτος. πλὴν τοῦ ἕτοιμος, ἕτερος, ἑταῖρος.

Τὸ ε πρὸ τοῦ υ, φ, καὶ χ. ψιλοῦται· πλὴν τοῦ ἑφθός.

Τὸ ε πρὸ τοῦ ψ, δασύνεται· οἷον, ἕψω.

Τὸ ε πρὸ τοῦ ω, δασύνεται· οἷον, ἕωθεν· πλὴν τοῦ ἓω τὸ ὑπάρχω, καὶ ἐῶ.

§. φά. Περὶ τοῦ Η. Κανόνες.

Τὸ η πρὸ τοῦ α, ἀπὸ κλίσεως μόνον εὑρίσκεται, καὶ ψιλοῦται· οἷον, ἦα.

Τὸ η πρὸ τοῦ β, δασύνεται· οἷον, Ἥβη. πλὴν τοῦ ἠδαῖος.

Τὸ η πρὸ τοῦ γ, δασύνεται· οἷον, ἡγοῦμαι. πλὴν τοῦ ἠγάθεος.

Τὸ η πρὸ τοῦ δ, ψιλοῦται· οἷον, ἡδὺ. πλὴν τοῦ ἥδομαι, ἡδονὴ, ἡδύς.

Τὸ η πρὸ τοῦ ε, ζ, η, θ, ι. ψιλοῦται. οἷον, ἠέλιος, ἠζάνθη, ἠὴρ, ἦθος, ἠθαῖος.

Τὸ η πρὸ τοῦ κ, δασύνεται· οἷον, ἧκισα. πλὴν τοῦ ἦκα ἀντὶ τοῦ ἠσύχως.

Τὸ η πρὸ τοῦ λ, ψιλοῦται· οἷον, ἠλίθιος. πλὴν τοῦ

ἦλος, καὶ ἥλιος.

Τὸ η πρὸ τοῦ μ, ψιλοῦται· οἷον, ἡμαρ. πλὴν τοῦ ἡμέρα, ἥμερος, ἥμισυ, ἅμων, ὁ ἀκοντιστής.

Τὸ η πρὸ τοῦ ν, καὶ ο, ψιλοῦται. ἠνὶ, ἠού.

Τὸ η πρὸ τοῦ π, ψιλοῦται· ἤπειρος. πλὴν τοῦ ἦπαρ.

Τὸ η πρὸ τοῦ ρ, ψιλοῦται· οἷον, ἠρέμα· πλὴν τοῦ Ἠρώδης, ἦρα, Ἠρωδιανὸς, Ἥρων, Ἡρακλῆς, Ἡρόδοτος, ἤρως, ἠρόφιλος.

Τὸ η πρὸ τοῦ σ, δασύνεται· οἷον, Ἡσίοδος. πλὴν τοῦ ἠσί, ἀντὶ τοῦ φησί, καὶ τῶν ἀπὸ Κλίσεως· οἷον, ἤσθιον, ἧσθα.

Τὸ η πρὸ τοῦ τ, ψιλοῦται· οἷον, ἦτορ. πλὴν τοῦ ἥττα.

Τὸ η πρὸ τοῦ υ, ψιλοῦται· οἷον, ἠύς, ὁ ἀγαθός.

Τὸ η πρὸ τοῦ φ, ψιλοῦται· πλὴν τοῦ Ἥφαιστος, Ἡφαιστίων.

Τὸ η πρὸ τοῦ ψ, οὐχ εὑρίσκεται, εἰμὴ ἀπὸ Κλίσεως.

Τὸ η πρὸ τοῦ χ, καὶ ω, ψιλοῦται· ἦχος, ἠώς.

§. φβ'. Περὶ τοῦ Ι. Κανόνες.

Τὸ ι, πρὸ τοῦ α, β, γ, ψιλοῦται· οἷον, ἰάδω, ἰβύω, ἴγδη.

Τὸ ι, πρὸ τοῦ δ, ψιλοῦται· οἷον, ἴδω. εἰμὴ τὸ ρ, ἐπάγοιτο· οἷον, ἰδρύω. πλὴν τοῦ ἵδρις.

Τὸ ι πρὸ τοῦ ε, ψιλοῦται· οἷον, ἰέναι. πλὴν τοῦ ἵερος, ἱέραξ.

Τὸ ι πρὸ τοῦ ζ, δασύνεται· οἷον, ἵζάνω, εἰμὴ ἐπάγοιτο.

Τὸ ι πρὸ τοῦ π, ψιλοῦται· ἱητήρ. πλὴν τοῦ ἵημι.
Τὸ ι πρὸ τοῦ θ, ψιλοῦται· οἷον, Ἰθάκη.
Τὸ ι πρὸ τοῦ κ, ψιλοῦται· Ἴκαρος, πλὴν τοῦ ἱκανὸς, ἱκετεύω, ἱκάνω, ἱκνοῦμαι.
Τὸ ι πρὸ τοῦ λ, ψιλοῦται· ἵλιον. πλὴν τοῦ ἵλεως.
Τὸ ι πρὸ τοῦ μ, εἰμὲν ἐπιφέρεται φωνῆεν, δασύνεται· οἷον, ἵμερος· εἰδὲ σύμφωνον, ψιλοῦται. ἴμβρος.
Τὸ ι πρὸ τοῦ ν, ξ, ο, ψιλοῦται. Ἰνδός, ἰξὸς, ἰός.
Τὸ ι πρὸ τοῦ π, ἑνὸς μὲν ψιλοῦται, δυοῖν δὲ, δασύνεται· ἵππος, ἵππος.
Τὸ ι πρὸ τοῦ σ, ψιλοῦται· ἴσως. ἀμὴ τὸ τ, ἐπάγοιτο· οἷον, ἴσημι. πλὴν τοῦ ἵστορος.
Τὸ ι πρὸ τοῦ τ, υ, φ, χ, ψ, ω. ψιλοῦται· Ἰταλὸς, ἴυγξ, ἴφη, ἰχθῦς, ἴψ, ἰὼ.

§. φγ΄. Περὶ τοῦ Ο. Κανόνες.

Τὸ ο πρὸ τοῦ α, β, γ, ψιλοῦται· ὄαρος ὀβελὸς, ὄγκος.
Τὸ ο πρὸ τοῦ δ ψιλοῦται· Ὀδυσσεύς. πλὴν τοῦ ὁδὸς.
Τὸ ο πρὸ τοῦ ζ, θ, κ, ψιλοῦται· ὄζω, ὀθόνη, ὄκνος. πλὴν τοῦ ὅθεν, καὶ ὁκόσα.
Τὸ ο πρὸ τοῦ λ, ψιλοῦται· ὁλλύω. πλὴν τοῦ ὅλος ὅλμος, ὁλκὴ, ὁλκὰς.
Τὸ ο πρὸ τοῦ μ, ψιλοῦται· ὁμνύω, πλὴν τοῦ ὁμοῦ, ὅμως, ὁμοκλὴ, ὅμιλος.
Τὸ ο πρὸ τοῦ ν, ξ, π, ψιλοῦται· πλὴν τοῦ ὄπιον

Τὸ

Τὸ ο πρὸ τοῦ ρ, ψιλοῦται· ὄρος, πλὴν τοῦ ὀρός, ὄρος, καὶ πλὴν ἐφ' ὧν τὸ κ, ἢ μ, μετὰ τὸ ρ, ἐπάγοιτο· οἷον, ὅρμος, ὁρμῶ, ὅρκος, ὁρμαθός.
Τὸ ο πρὸ τοῦ σ, εἰμὲν φωνῆεν ἐπάγοιτο, δασύνεται. οἷον, ὅσιος, πλὴν τοῦ ὅσιρις· εἰδὲ σύμφωνον, ψιλοῦται· οἷον, ὄσρεον.
Τὸ ο πρὸ τοῦ τ, ψιλοῦται· πλὴν τοῦ ὅτι, ὅταν, ὅτε.
Τὸ ο πρὸ τοῦ φ, χ, ψ, ψιλοῦται· ὄφις, ὄχημα, ὀψέ.
Τὸ ο πρὸ τοῦ ο, υ, ω, οὐχ εὑρίσκεται.

§. φδ΄. Περὶ τοῦ Υ. Κανόνες.

Τὸ υ δασύνεται ἀεὶ, εἴτε πρὸ φωνήεντος· εἴτε πρὸ συμφώνου· πλὴν τῶν Αἰολικῶν· οἱ γὰρ Αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν.

§. φε΄. Περὶ τοῦ ω. Κανόνες.

Τὸ ω ψιλοῦται ἀεὶ· πλὴν τοῦ ὡς, ὥσε, ὥδε, ὥρα· καὶ τῶν ἀπ' αὐτοῦ· οἷον, ὡραῖος, ὡρακιῶ.

Περὶ τοῦ ρ. Κανόνες.

§. φς΄. Καὶ τὸ ρ δὲ ἐν ἀρχῇ λέξεως ἀεὶ δασύνεται· Ῥώμη, ῥῆμα, ῥεῖν. ἐὰν δὲ διττὸν γένηται ἐν μέσῳ λέξεως τὸ μὲν α ψιλοῦται, τὸ δ' β δασύνεται· οἷον, ἐπίῤῥημα.

§. φζ΄. Περὶ τῶν Διφθόγγων Κανόνες.

Η' Αι Διφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται· οἷον, αἰὼν, αἰκία, εἰμὶ, τὸ μ ἐπάγοιτο.

τος· οἷον, αἷμα. καὶ πλὴν τοῦ αἴρω, αἱροῦμαι.

Η' Α. Δίφθογγος ψιλοῦται· οἷον, αὐλός· πλὴν τοῦ αὖτη, αὐτοῦ, ἀντὶ τοῦ ἑαυτοῦ.

Η' Ει. Δίφθογγος ψιλοῦται· εἷς, εἵκη. πλὴν τοῦ εἶς. εἶως, εἰρμὸς, εἰρκτὴ, εὐκλύω, εἱμαρμένη, εἷμα τὸ ἔνδυμα, εἱμένος.

Η' Ευ. Δίφθογγος, ψιλοῦται· οἷον, εὖ. πλὴν τοῦ εὕω τὸ φωτίζω. εὕρω, εὑρίσκω.

Η' Οι. Δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, ψιλοῦται· οἷον, οἶνος, πλὴν τοῦ οἶος. οἷς δὲ ἐκ τοῦ ὅϊς ψιλοῦται.

Η' Ου. Δίφθογγος ψιλοῦται· οἷον, οὖ. πλὴν τοῦ ου ἄρθρου, καὶ οὕνεκα συνδέσμου, καὶ οὕτως ἐπιρρήματος καὶ οὗτος ἀντωνυμίας καὶ οὗ τοπικοῦ ἐπιρρήματος.

Καθόλου περὶ τῶν Πνευμάτων Κανονες.

§. φή. Καθόλου δὲ πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται· ὁ ἡ ὅς.

§. φθ. Τὰ Ἀναφορικὰ πάντα δασύνεται· οἷον ὅσος, ὅλος, ὁπόσος, ὁποῖος, ὅτε, ὁπότε.

§. φι. Τὰ Ἀριθμητικὰ ὀνόματα δασύνονται εἷς, ἕξ, ἑπτά. πλὴν τοῦ ἑκτὼ, καὶ ἐννέα, καὶ εἴκοσι.

§. φια. Οἱ Αἰτιολογικοὶ σύνδεσμοι δασύνονται ὅπως, πλὴν τοῦ ὄφρα.

§. φιβ.

§. φιβ'. Τὸ ε τὸ ἐν τοῖς παρωχημένοις χρόνοις, εἴτουν ἡ συλλαβικὴ αὔξησις τῶν ῥημάτων, ἀεὶ ψιλοῦται. ἔτυπτον, ἔγραφον, ἔπλητον. Τὸ δὲ ἔσπκα τὸ τοῦ ἐνεστῶτος λαμβάνει πνεῦμα. Ὁμοίως δὲ καὶ τὸ Ἀττικῶς προσιθέμενον ε, ἐν ἑνίοις τῶν παρωχημένων· οἷον, ὁρῶ, ἑώρων, ἑώρακα. ὠνοῦμαι, ἐωνούμην.

Τόποι τῶν Τόνων.

§. φιγ'. Τόποι δὲ τῆς μὲν ὀξείας, τρεῖς. Λήγουσα, Παραλήγουσα, καὶ Προπαραλήγουσα. τῆς δὲ περισπωμένης, δύο· λήγουσα, καὶ παραλήγουσα. τῆς δὲ βαρείας, εἷς ἡ λήγουσα.

§. φιδ. Καὶ ὅτε μὲν ὀξεῖαν ἐπὶ τῆς ληγούσης τὸ τοῦ λόγου μέρος ἔχει, καλεῖται ὀξύτονον. οἷον καλός. Ὅτε δὲ ἐπὶ τῆς παραληγούσης, παροξύτονον, καὶ βαρύτονον· οἷον, λόγος. Ὅτε δὲ ἐπὶ τῆς προπαραληγούσης, προπαροξύτονον, καὶ βαρύτονον· οἷον, ἄνθρωπος.

§. φιε'. Περισπωμένην δὲ ἔχον ἐπὶ τῆς ληγούσης, περισπώμενον καλεῖται· οἷον, Ἀθηνᾶ. ἐπὶ δὲ τῆς παραληγούσης, προπερισπώμενον· οἷον, [illegible]

§. φις'. Βαρεῖαν δὲ μόνον ἐν τῇ συνεπείᾳ τοῦ λόγου ἡ λέξις δέχεται· οἷον, καλὸς, καὶ σεμνὸς ὁ ναὸς οὗτος. ἄνευ δὲ συνεπείας, οὐδέποτε. Ἰσέον δ' ὡς τὸ τὶς, ἐρωτηματικὸν, καὶ ἐν τῇ συνεπείᾳ Ὀξεῖαν ἐπιδέχεται· οἷον, τίς ἦκε;

Περὶ

Περὶ Χρόνων.

§. ριζ'. Ἔσι δὲ πρὸς ταῖς πρότερον εἰρημέναις Προσῳδίαις, καὶ Μακρά τις, καὶ Βραχεῖα, οὕτω γραφόμεναι —, υ. Χρόνοι δὲ αὗται καλοῦνται, ὅτι ἐπὶ τῶν φωνηέντων τιθέμεναι, θάτερον ἐμποιοῦσι τοῖν χρόνοιν. ἤτοι γὰρ μακρὸν, ἢ βραχὺ ὂν, ἐπὶ τοῦδε διορίζονται, τὸ δυναμει ἀμφοτερα ἄν. ἦν μὲν οὖν πάλαι ἴσως, οὐ μόνον τὸ ε, καὶ ο, τόπος τοῖς τοιούτοις σημείοις, ἀλλὰ καὶ τὸ α, καὶ ι, καὶ υ. νῦν δὲ ἐπὶ μὲν τοῦ ε, καὶ ο, περιττὰ. τὸ γὰρ η, καὶ ω, μεταλαμβάνοντες γράφομεν. ἐπὶ δὲ τῶν καλουμένων Διχρόνων χρῆσις οὐκ ἔσιν αὐτῶν οὐδεμία. ὥσε μόνῳ ἂν τῷ μετρικῷ εἶεν ἐν χρήσει. Ἐκ μόνης οὖν τῆς δυνάμεως τῶν φωνηέντων ἤτοι μακρὰν, η βραχεῖαν καλοῦμεν συλλαβὴν, τὴν ἤτοι μακρὸν ἔχουσαν, ἢ βραχὺ φωνῆεν.

§. φιή. Ἔσι τοίνυν ἡ συλλαβὴ, ἡ μὲν Μακρὰ, ἡ δὲ, Βραχεῖα, ἡ δὲ, Κοινή. Καὶ Μακρὰ μὲν, ἡ ἔχουσα φύσει μακρὸν φωνῆεν, ἢ μηκυνόμενον, η μίαν τινὰ τῶν Διφθόγγων. αἱ γάρ τοι δίφθογγοι πᾶσαι μακραί εἰσι. φύσει μὲν τριχῶς. ἤτοι γὰρ φθόγγῳ μακροῦ φωνήεντος· οἷον, ἥρως. ἢ ἐκτάσει δίχρόνου· οἷον, καλάς. ἢ διφθόγγῳ· οἷον, Αἴας. θέσει δὲ μοναχῶς, δυοῖν ἐπιφερομένοιν συμφώνοι. ἤτοι ἐνεργείᾳ· ἄρτος· ἢ δυνάμει· ἄξω, τύψω.

§. φιθ'. Βραχεῖα δὲ, ἡ ἔχουσα ἤτοι φύσει βραχὺ φωνῆεν· οἷον, λόγος· ἢ δίχρονον συστελλόμενον

οἷον

οἷον, φιλία.

§. φκ. Κοινὴ δὲ ἡ δυναμένη ἡ αὐτὴ μακρά τε λαμβάνεσθαι, καὶ βραχεῖα. τριχῶς δὲ γίνεται τοιοῦτο. Πρῶτον, εἰ προηγουμένῳ βραχεῖ φωνήεντι σύμφωνα δύο ἐπιφέροιτο ἐν μιᾷ συλλαβῇ ἄφωνον πρὸ ἀμεταβόλου· οἷον, μέχρι, καὶ ἴσθι κρατεῖν σπανίως δὲ καὶ ἑπομένου τοῦ κτ, πτ, μν. Δεύτερον, ἃ λήγει μὲν ἡ λέξις εἰς φύσει μακρὸν φωνῆεν, ἢ δίφθογγον, ἢ δίχρονον ἐκτεταμένον, ἕπεται δὲ τὴ ἑξῆς ἀπὸ φωνήεντος ἀρχομένη· οἷον, τὴν δ' ἐγὼ οὐ λύσω. καὶ ἀγλαὰ δέχθαι ἄνοιπα καὶ φοῖτα ἀνα προμάχους. Τρίτον, εἰ τελευτᾷ μὲν ἡ λέξις εἰς τι βραχὺ φωνῆεν, ἄρχεται δὲ ἡ ἑπομένη ἀπὸ φωνήεντος, μάλισα τοῦ ι. ἢ καὶ ἀπὸ ἑνὸς ἁπλοῦ συμφώνου, ἀλλὰ σπανίως· οἷον, οἱ δε μέγα ἰάχοντες. καὶ, αὐτὰρ ἐπεὶ Δαναῶν γενετο ἰαχή. καὶ ἐπισταμεθα πολεμιζειν. Ἔτι δὲ καὶ ἡ ἐν, καὶ ον συλλαβὴ ἐπὶ ὅτε κοινὴ λαμβάνεται, ἑπομένου φωνήεντος. Ἀλλ' ἡ περὶ τὰ τοιαῦτα θεωρία μόνοις τοῖς μετρικοῖς ἀνήκει.

Περὶ Τόνων Κανόνες.

§. φκά. Ὀξύνεται μὲν οὖν ἡ λήγουσα ἀεὶ, οὖσα βραχεῖα· ἀγαθός· ἐπάνω γάρ τοι βραχείας Περισπωμένη οὐ τίθεται. Μακρὰ δὲ, οὐκ ἀεί.

§. φκβ'. Ἡ παραλήγουσα δὲ, ὅταν βραχεῖα ἢ οἷον, λόγος. ἢ αὐτή τε μακρὰ, καὶ ἡ λήγουσα ἥρως μα-

μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται.

§. ρκγ'. Ἡ προπαραλήγουσα δὲ, ἢν μὴ ἡ λήγουσα μακρὰ οὖσα κωλύῃ· ἥρως, μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις καινή.

§. ρκδ'. Περισπᾶται δὲ ἡ παραλήγουσα, ὅταν αὐτή τε ᾖ φύσει μακρὰ, καὶ ἡ λήγουσα φύσει βραχεῖα· ἐπὶ γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται. Διὸ καὶ λέγεται, ὅτι πᾶσα φύσει μακρὰ, πρὸ βραχείας λήκτικῆς, ἐν ἑνὶ μέρει λόγου οὖσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται.

§. ρκε'. Ἡ δὲ λήγουσα, βραχεῖα μὲν οὖσα, οὐδέποτε· μακρὰ δὲ ἐκ συναιρέσεως ἀεί. εἰ δ' ἄλλως φύσει, οὐκ ἀεί.

Περὶ Τόνων τῶν Ὀνομάτων Κανόνες.

Εὐθεῖα Ἐνικῶν.

§. ρκς'. Κοινὸν μὲν οὖν τῶν ὀνομάτων ἁπάντων τὸ τὴν εὐθεῖαν μὴ ἐκ συναιρέσεως οὖσαν ὀξύνεσθαι, ἂν ἐπὶ τῆς ἐσχάτης ὁ τόνος.

§. ρκζ'. Τὰ δὲ εἰς ας, καὶ εἰς υς, καὶ εἰς ους μονοσύλλαβα καὶ ὅλως τὰ εἰς ους ἁπλᾶ, περισπᾶται, πᾶς, μῦς, οὖς, δρῦς, βοῦς· τούτοις δ' ἠκολούθησε καὶ τὰ ἰχθῦς, καὶ ὀσφῦς, καὶ ὀφρῦς· ἐξαιρείσθω τὸ πούς καὶ ὀδούς. Περισπᾶται δὲ καὶ τὸ εἷς, ἀριθμητικόν.

§. ρκη'. Ἔτι ἓξ τῶν αὐθετέρων μονοσύλλαβα, περισπᾶται· ἠῦρ, πῦ, σκῶρ.

§. ρκθ'.

§. ρκθ'. Περισπᾶται δὲ καὶ ὅσα εἰς ων συνηρημένῳ· Ποσειδῶν, Ξενοφῶν.

§. ρλ'. Καὶ ὅλως τὰ ἐκ συναιρέσεως περισπᾶται, παῖς, ῥοῦς, φθοῖς.

§. ρλα'. Πᾶσα γάρ τοι συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ Ἑρμέας, ἧς. Ξενοφόων, ὧν, τὸ δὲ ἑσαὼς, ἑσὼς, οὐκ ἐξ ὀξείας καὶ βαρείας.

§. ρλβ'. Διὸ καὶ αἱ τῶν πομπτοχλίτων συναιρούμεναι πτώσεις, περισπῶνται πᾶσαι, ἢν ἐπὶ τοῦ συνηρημένου ὁ τόνος ᾖ. λητόος, οὖς. λητοῖ, οἳ. πλὴν ἔνθα τὸ συναιρούμενον ἑτέρᾳ πτώσει ἀσυναιρέτῳ ὁμοφωνεῖ· οἷον, τὴν λητόα, καὶ λητῶ. Πᾶσα γὰρ πτῶσις ἑτέρᾳ ὁμοφωνήσασα πτώσει καὶ τὸν τόνον αὐτῆς ἔχει, καὶ τὸν χρόνον.

§. ρλγ'. Ἔτι τῶν κτητικῶν τὰ μὲν εἰς κον, Ὀξύτονα πάντα· Ἀττικόν· τὰ δὲ εἰς ειον. προπαροξύτονα· Αἰάντιον. ἢ προπερισπώμενα. θεῖον.

§. ρλδ'. Καὶ τὰ ἀπὸ τόπων δὲ παρωνομασμένα εἰς ιον προπαροξύνεται· οὐράνιον.

§. ρλε'. Καὶ τῶν μετουσιαστικῶν τὰ εἰς νον, ῥηνον.

§. ρλς'. Καὶ τὰ ὡς μετουσιαστικὰ, συνθέτης ἐν λεγόμενα. ἔμμουσον, ἔμμετρον.

§. ρλζ'. Καὶ ὅλως τὰ σύνθετα, ὡς ἐπὶ τὸ πολὺ ἀναβιβάζει τὸν τόνον· Ἔνθηρον, παραπλήσιον, τρόπαν

§. ρλη'. Καὶ τὰ ἀπὸ τοῦ κτείνω σύνθετα παθητικὰ, προπαροξύνεται. ξιφόκτονος, λυκόκτονος.

ἀνερ-

ἐνεργητικὰ δὲ παροξύνεται· ξιφοκτόνος, λυκοκτόνος. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ τρέφω· λαοτρόφος μὲν, λαοτρόφος δὲ, παροξυτόνως.

§. φλθ'. Ὥσπερ ἄρα καὶ τὰ ἐκ τοῦ πολῶ, μετὰ μὲν Προθέσεως, προπαροξύνεται· πρόπολος, ἀμφίπολος· μεθ' ἑτέρου δὲ, παροξύνεται· ὀνειροπόλος, θυηπόλος.

§. φμ'. Καὶ ἔτι δὲ τῶν Ὀξυτονουμένων ἔχθλιψιν πάθει, ὁ αὐτὸς τόνος φυλάττεται ἀναβιβαζόμενος· δεινὰ, δεῖν' ἐπιπείλει.

§. φμα'. Τάγε μὴν δισύλλαβα τῶν ἐρωτηματικῶν, ποῖος, πόσος, Ἀοριζόμενα, ὀξύνεται· ποιὸς, ποσός.

§. φμβ'. Τῶν δὲ Τεταρτοκλίτων Ἀττικῶν ὑπερδισυλλάβων, προπαροξύτονος ἀεὶ ἡ Εὐθεῖα, καὶ τοι μακροκατάληκτος οὖσα. Ἀττικοῦ δὲ τὸ τοιοῦτο Μενέλεως, εὔγεων.

§. φμγ'. Τὰ δὲ Δωρικῶς ἀφαιρέσει τοῦ σ, κλινόμενα, διφορεῖται. τὰ μὲν γὰρ, βαρύτονα. Διώνδας· τὰ δὲ, Περισπώμενα. Θωμᾶς, Ποδῆς· καὶ προπερισπώμενον δὲ, ἓν, τὸ λᾶας.

§. φμδ'. Πολυσχεδής γε μὴν, καὶ Ἀόριστος τῆς Εὐθείας ὁ τόνος· ὁπότε δὲ καὶ τὸ τὴν φωνὴν ταύτ' διαφόρως τονίσαι ἔξῃ, πρὸς σημασίαν διάφορον· βίος, βίος. πονηρὸς, πόνηρος.

Γενικὴ Ἐνικῶν.

§. φμε'. Ἡ δὲ Γενικὴ, ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ Εὐθεῖα· εἰμὴ μακρὰ λήγουσα κωλύοι. δίκαιος ἄρα δικαίου· λόγος δὲ, λόγου. καὶ ἀγαθὸς, ἀγαθοῦ. ἐξαιρείσθω τὸ μητέρος, καὶ θυγατέρος, καὶ γυναικός.

§. φμς'. Αἵγε μὴν εἰς ος δισύλλαβοι, ὀξύνονται. βοὸς, γραὸς. ἡ δὲ λᾶος, κατὰ συναίρεσιν ἐκ τρισυλλάβου τῆς λάαος. καὶ ἡ κῆρος, καὶ ἦρος, ὁμοίως ἐκ κεαρος, καὶ ἔαρος. τὸ δὲ μιᾶς. Ἰωνικὴν ἔχει τὴν τάσιν. Ἐπὶ μέντοι τῶν Μετοχῶν, καὶ αἱ εἰς ος δισύλλαβοι, βαρύνονται. ἑάντος, ἑάντος.

Δοτικὴ Ἐνικῶν.

§. φμζ'. Ἡ δὲ Δοτικὴ καθόλου τὸν τῆς Γενικῆς ἴσχει τόνον, καὶ χρόνον. Αἰνείου, Αἰνείᾳ. Μεταπεπλασμένη δὲ, ἀεὶ προπαροξύνεται, δίχομηνι, πολυπάταγι, μελίκρατι.

Αἰτιατικὴ Ἐνικῶν.

§. φμη'. Ἡ δὲ Αἰτιατικὴ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενικὴ τῶν [illegible] τῶν Τεταρτοκλίτων, ὧν ἡ γενικὴ δισύλλαβος εἰς ος. ἐπὶ τούτων γὰρ ἀναγκη τὰς μὲν γενικὰς ὀξύνεσθαι· διὸς, βοὸς. τὰς δὲ αἰτιατικὰς παροξύνεσθαι. τὸν δία, τὸν βοᾶ. Ἐξαιρείσθω τὸ θυγατρα, πεπονθὸς γὰρ· καὶ τὸ ἄνδρα ὁμοίως, καὶ τὸ γυναῖκα.

§. φμθ'.

§. φμθ'. Καὶ περισπῶνται δὲ αἱ μονοσύλλαβοι Αἰτιατικαὶ εἰς ν λήγουσαι· κλεῖν, λῖν, μῦν, σῦν.

Κλητικὴ Ἐνικῶν.

§. φν'. Ἡ δὲ Κλητικὴ ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα. Πλὴν τῶν περιττοκλίτων εἰς ης, συνθέτων, κυρίων, βαρυτόνων, ἢ καὶ περισπωμένων ἐκ συναιρέσεως· ἐπὶ τούτων γὰρ ἀναβιβάζεται ὁ τόνος· ὁ Δημοσθένης, ὦ Δημόσθενες· ὁ Ἡρακλῆς, ὦ Ἡράκλεες, Ἡράκλεις, κατὰ συναίρεσιν. τοιοῦτο καὶ τὸ Σοφόκλεις, Περίκλεις. Τῶν δὲ εἰς ευς, ἡ Κλητικὴ περισπᾶται· ὦ βασιλεῦ.

§. φνα'. Καὶ τὰ εἰς ων δὲ σύνθετα, ἐὰν εἰς ον βραχὺ ἡ Κλητικὴ, ἀναβιβάζει τὸν τόνον· Ἀγάμεμνον, κακόδαιμον. Πλὴν τῶν ἀπὸ τοῦ φρήν. καὶ γὰρ ὦ δαῖφρον, καὶ περίφρον, παροξύτονος· ἐξαιρείσθω τὸ Λακεδαῖμον, καὶ τὸ παλαίμων, προπερισπώμενα.

§. φνβ'. Ἔτι τὰ εἰς ηρ, ὧν ἡ κλητικὴ εἰς ερ, ἀναβιβάζει· θύγατερ, ἄνερ, σῶτερ.

§. φνγ'. Ἐξαιρείσθω καὶ τὸ δέσποτα, μητίετα, ἑκάεργος, εὐρύοπα τὸν τόνον ἀναβιβάζοντα.

Δυϊκά.

§. φνδ'. Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν, ἐπὶ τῆς ζ τῆς συλλαβῆς τῇ εὐθείᾳ τῶν ἑνικῶν ἔχει τὸν τόνον. Αἶας, Αἴαντε. Πέρσης, Πέρσα. ἵππος, ἵππω.

§. φνε'. Ἡ δὲ γενικὴ, ἐπὶ τῶν περιττοκλίτων μόνον

νον τῇ γενικῇ τῶν πληθυντικῶν ἕπεται· Αἰάντων, Αἰάντοιν. πλὴν ποδοῖν· ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων, τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ. ἀνείαιν· τιμᾶ, τιμαῖν. λόγῳ λόγοιν. Μενέλαω, Μενέλαοιν. πλὴν τοῦ ἄμφω, ἀμφοῖν. καὶ δύω, δυοῖν.

§. φνς'. Ἡ δὲ κλητικὴ, τῇ εὐθείᾳ ὁμοίως.

Εὐθεῖα Πληθυντικῶν.

§. φνζ'. Ἡ δὲ εὐθεῖα τῶν Πληθυντικῶν, ὁμοτόνως ἔχει τῇ Εὐθείᾳ τῶν Ἑνικῶν. λίθος, λίθοι. χρυσὸς, χρυσοί. Πλὴν τῶν εὐθυλεκτουμένων θηλυκῶν, παρεσχηματισμένων ἀρσενικοῖς. ταῦτα γὰρ τῷ ἀρσενικῷ ὁμοτονεῖ. λίθινος. λίθιναι.

Γενικὴ Πληθυντικῶν.

§. φνη'. Ἡ δὲ γενικὴ, τῶν μὲν Πρωτοκλίτων, καὶ Δευτεροκλίτων περισπᾶται· Ὀρέσαι, ὀρέσων· τιμαὶ, τιμῶν. Πλὴν τῆς ἀφύων. καὶ ἐπὶ τῶν Πρωτοκλίτων, χρήσων, χλούνων, ἐτησίων.

§. φνθ'. Τὰ γε μὴν παρεσχηματισμένα ἀρσενικοῖς τῶν Δευτεροκλίτων, ὁμοτονεῖ κάνταῦθα τῷ ἀρσενικῷ· ῥόδιος, ῥόδιαι, ῥοδίων. πλὴν τῶν ἐχεῶν, καὶ μελαινῶν, καὶ ὅλως τῶν ἀπ' ἀρσενικῶν Περιττοκλίτων.

§. φξ'. Καὶ ἡ τῶν Περιττοκλίτων δὲ δισυλλάβως εὐθυλεκτουμένων, περισπᾶται· μῆνις, μηνῶν. Πλὴν τῶν δυοκαίδεκα ἐκείνων· πάντων, τρώων,

δμώων, παίδων, φώτων, θώων, λάων, κράτων, δάδων, φώδων, ὤτων, καὶ τίνων.

§. φξά. Ὑπὲρ δύο δὲ συλλαβὰς οὖντα, παροξύνεται· Αἴαντες, Αἰάντων. τὸ δὲ λέξεων, καὶ τὰ ὅμοια, Ἀττικῶν, καὶ πλὴν τῶν συνῃρημένων· ταῦτα γὰρ περισπᾶται· δημοσθενέων, ὧν.

§. φξβ. Ἡ δὲ τῶν Τριτοκλίτων, καὶ Τεταρτοκλίτων, ὁμοτονεῖ τῇ τῶν Ἐνικῶν Γενικῇ. Καὶ περισπᾶται δὲ ἐπὶ τῆς ληγούσης ἔχουσα τὸν τόνον.

§. φξγ. Καθόλου γὰρ πᾶσα Γενικὴ μακροκατάληκτος, ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον, περισπᾶται. Ἤγε μὴν τῶν Ἀττικῶν, λεώ, καὶ νεώ ὀξύνεται· τὸ γὰρ πτωτικὸν τελικὸν ω περισπᾶσθαι οὐκ ἐθέλει, τὸ δὲ ποσειδῶ, καὶ ἱδρῶ, καὶ κυκεῶ, περισπᾶται, ὡς ἐξ ἀποκοπῆς ὄντα.

Δοτικὴ Πληθυντικῶν.

§. φξδ. Ἡ δὲ Δοτικὴ, τῇ τῶν Ἐνικῶν Δοτικῇ ὁμοτονεῖ· Πλὴν τῆς πᾶσιν· ἐφ' ὧν δὲ τὸ α, πλεονάζει ἐπὶ τῆς παραληγούσης ὁ τόνος. μητράσιν, θυγατράσιν.

§. φξε. Αἱ δὲ μεταπεπλασμέναι τῶν Δοτικῶν, παροξύνονται· πρόβασιν, ἄστρασιν, ἔγχασιν.

§. φξς. Τῇ δὲ Αἰτιατικῇ ἐπὶ τῆς αὐτῆς ὁ τόνος ἐφ' ἧς καὶ τῇ Εὐθείᾳ. Πλὴν ἓν θ μακρὰ λήγουσα κωλύει· ἐνταῦθα γὰρ ἐπὶ τῆς ἑπομένης ὁ τόνος· οἱ δίκαιοι, τοὺς δικαίους.

§. φξζ.

§. φξζ. Καὶ ἡ Κλητικὴ δὲ, τῇ Εὐθείᾳ ὁμοίως.

Τόνος Ῥήματος.

§. φξή. Πᾶν Ῥῆμα μακροκατάληκτον ἐπὶ τῆς μακρᾶς ἔχον τὸν τόνον περισπᾶται· πλὴν τοῦ χρή, καὶ φής.

§. φξθ. Ἴδιον δὲ τῶν εἰς μι, τὸ προπαροξύνεσθαι, τίθημι, ἵσημι. Πλὴν τοῦ εἰμὶ, καὶ φημί.

§. φο. Ἐν δὲ τῇ συνθέσει τὰ προπερισπώμενα οὐκ ἀναβιβάζει τὸν τόνον, καθάπερ καὶ τὰ ὀνόματα ἀνεβίβαζεν· οἷον, εἶπε, κατεῖπεν. εἶχε, κατεῖχε. Πλὴν τοῦ οἶδα, σύνοιδα γάρ· καὶ οἶσθα, σύνοισθα. καὶ κεῖμαι, πρόσκειμαι. οὐκ ἔτι δὲ καὶ τὸ κεῖσθαι. προσκεῖσθαι γάρ.

§. φοά. Τὸ δὲ Προσακτικὸν, προπαροξυτόνως, ἔνθα ἂν ἐγχωρῇ· μὴ ἐγχωροῦν δὲ, παροξυτόνως· τύπτε, τέτυφε. Πλὴν τοῦ δευτέρου τῶν μέσων ἀορίστου· περισπωμένως γάρ· τυποῦ. καὶ πλὴν τοῦ ἐλθὲ, εὑρὲ, ἰδὲ, εἰπὲ, λαβέ.

Τόνος Μετοχῆς.

§. φοβ. Μετοχὴ δὲ, τῇ μὲν ἀρσενικῇ τοῦ ἐνεστῶτος καὶ μέλλοντος, καὶ ἀορίστου πρώτου τῶν εἰς ἐνεργητικῶν, ἐπὶ τῆς αὐτῆς ὁ τόνος τῷ ἀρχικῷ ῥήματι· τύπτω, ὁ τύπτων, ὁ τύψων, ὁ τύψας. Πλὴν τριῶν, ἰὼν, χιὼν, ἐών. τούτων γὰρ αἱ μετοχαὶ ὀξυτονοῦνται· ἰών, χιών, ἐών.

§. φογ.

§. φογ. Τῇ δὲ τοῦ παρακειμένου, καὶ δευτέρου ἀορίστου, ἐπὶ τῆς ἐσχάτης· τετυφὼς, τυπών. Αἴγε μὴν εἰς μενος, πᾶσαι προπαροξύνονται· πλὴν τοῦ παρακειμένου· παροξυτόνως γὰρ ὁ τετυμμένος.

Τόνος Ἀντωνυμίας.

§. φοδ. Ἀντωνυμιῶν δὲ τῶν πρωτοτύπων, ὀξύνεται μὲν ἡ ἐνικὴ εὐθεῖα, καὶ ἡ δοτικὴ καὶ ἡ αἰτιατικὴ ὁμοίως. ἡ δὲ γενικὴ περισπᾶται· ἐμοῦ, σοῦ. ἐπὶ δὲ τοῦ τρίτου προσώπου ἔτι καὶ ἡ δοτικὴ περισπᾶται· οὗ, οἷ. Αἱ δὲ πληθυντικαὶ περισπῶνται πᾶσαι, πλὴν τῆς τοῦ τρίτου δοτικῆς. σφίσι.

§. φοε. Χρὴ δ' ἄρα ἐπὶ τοῦ πρώτου προσώπου τὸ ἐντελὲς ἐννοεῖν· ὡς τάγε ἀρκτικὸν ἀποβάλλουσα φωνῆεν, ἐγκλίνεται, ὧδε· ἤκουσάς μου, ἔδωκάς μοι, εὔφρανάς με.

Περὶ Ἐγκλινομένων.

§. φος. Καθόλου γάρ τοι τὰ ἐγκλινόμενα ἀποβάλλοντα τὸν ἑαυτῶν τόνον, ἐφέλκεται ὑπὸ τοῦ κατὰ τὴν ἡγουμένην λέξιν, εἴτε μονοσύλλαβα εἴη, εἴτε δισύλλαβα· τὸ δὲ καί μοι τις, οὐ δισύλλαβον ἦν, ἀλλὰ μονοσύλλαβα δύο· ἀεὶ γὰρ μία μόνη λέξις ἐγκλίνεται· δυο οὖν καὶ μονοσύλλαβοι ὦσιν, οὐκ ἐφ' ἑνὸς τόνου ἐγκλίνοιντο· ἀλλ' ἡ μὲν προτέρα ὑπὸ τοῦ ὑπάρχοντος κατὰ τὸ ἡγούμενον, ἡ δὲ δευτέρα ὑφ' ἑτέρου, τῇ προτέρᾳ ἐπιτιθεμένου.

§. φοζ.

§. φοζ. Ὅλως μὲν οὖν τὰ τῶν πρωτοτύπων ἐνικὰ ἐγκλίνεται· πλὴν τῶν εὐθειῶν· ἐγκλίνεται δὲ καὶ τὸ σφῶν, καὶ σφίσι, καὶ σφᾶς. καὶ τὸ σφὲ, καὶ σφὼ, καὶ σφὶν, καὶ μὶν, καὶ νίν.

§. φοή. Ἐγκλίνεται δὲ καὶ τῶν Ὀνομάτων τὸ τις, ἀόριστον, καὶ αἱ ἀπ' αὐτοῦ πλάγιαι. Ἔτι δὲ καὶ τὸ του, καὶ τῳ, ἀντὶ Ἀορίστων λαμβανόμενα. Καὶ τῶν ῥημάτων τὸ εἰμὶ, καὶ φημὶ, καὶ ἀπ' αὐτῶν Ὁριστικὰ τοῦ Ἐνεστῶτος Ἐνικὰ, καὶ Πληθυντικά. πλὴν τοῦ εἶ, καὶ φῄς. καὶ τῶν Ἐπιῤῥημάτων τὸ πως, καὶ που, καὶ ποι, καὶ ποτὲ, καὶ ποθὲν, Ἀόριστα ὄντα. καὶ τῶν Συνδέσμων ὅτε, καίτοι, καὶ που, καὶ περ πω, γε, νυ, κε, ῥα· καὶ τὰ παραπλήσια.

§. φοθ. Τούτων δὲ τὰ μὲν μονοσύλλαβα ἐγκλινόμενα ἀεὶ ἀποβάλλει τὸν τόνον· τὰ δὲ δισύλλαβα οὐκ ἀεί. Ἐὰν γὰρ τὸ ἡγούμενον παροξύτονον ᾖ, οὐκ ἀποβάλλει τὸ δισύλλαβα ἐγκλινόμενα τὸν ἑαυτῶν τόνον· οἷον, λόγος ἐστίν. ἄλλος φησί.

§. φπ. Ἀποβάλλοντα τοίνυν τὰ ἐγκλινόμενα ταῦτα τὸν ἑαυτῶν τόνον, ἐφέλκεται ὑπὸ τοῦ κατὰ τὴν ἡγουμένην λέξιν, ὡς εἴρηται· διχῶς δέ. εἰμὲν γὰρ ὀξύτονον, ἢ περισπώμενον τύχοι τὸ ἡγούμενον, τῇ δυνάμει ἐφέλκεται τοῦ ὑπάρχοντος ἐκείνῳ τόνου· οἷον, καλός τις. ποῦ ἐστιν. εἰ δὲ προπαροξύτονον, ἢ προπερισπώμενον, τῇ προσθήκῃ τῆς ὀξείας κατὰ τὴν λήγουσαν· οἷον, ἄνθρωπός τις, σῶμά ἐστι, τοῦτό γε.

§. φπά.

§. φπά. Σημειοῦσι δὲ ὅτι εἰ θέσει μακροκαταληκτεῖ ἡ ἡγουμένη λέξις, οὐκ ἀποβάλλει τὸν τόνον τὰ ἐγκλινόμενα· οἷον, πῖδαξ ἐσίν. αὖλαξ τίς.

§. φπβ. Ἔτι ἐγκλινόμενα τῶν ἀντωνυμιῶν ταῖς προθέσσιν ἐπαγόμεναι, φυλάττουσι τὸν οἰκεῖον τόνον· πρός σε, διά σοῦ· ἐξαιρείσθω τὸ πρός με.

§. φπγ. Ἔτι ἰσέον, ὡς τὸ ἐσίν, εἴτε ἐν ἀρχῇ τοῦ λόγου, εἴτε ἐπόμενον τοῖς μορίοις τησδε, καὶ, οὐκ, ἆρα, ἀλλὰ, εἰ, ὡς, μετατίθισι τὸν τόνον ἐπὶ τὴν παραλήγουσαν· οἷον, ἔσιν, οὐκ ἔσιν, ἆρ' ἔσιν, ἀλλ' ἔσι, καὶ ἔσιν, εἰ ἔσιν, ὡς ἔσι.

§. φπδ. Ἔτι εἰσί τινα τῶν μονοσυλλάβων καθ' ἑαυτὰ μὲν οὐκ ἔχοντα τόνον, λαμβάνοντα δὲ ὀξεῖαν, εἰ ἕπεταί τι τῶν ἐγκλινομένων· οἷον, ὅγε, ἥγε, οἵδε, οὔτις, ἕκτινος, εἴς τι.

§. φπε. Ἔτι τὸ οὐ, καὶ ἐν τῷ τέλει τοῦ λόγου ὄν, ἐπιδέχεται ὀξεῖαν· οἷον, ἐγὼ δὲ οὔ.

Περὶ Χρόνων Καταληκτικῶν τῶν Ὀνομάτων Κανόνες.

Εὐθεῖα Ὀνομάτων.

§. φπς. Πᾶν θηλυκὸν εἰς α λῆγον, ὀξυνόμενον μὲν, ἐκτείνει τὸ α· ἀρά, χαρά· προπαροξυνόμενον, ᾱ, ἢ προπερισπώμενον, συσέλλει· ὁμόνοια, μοῦσα.

§. φπζ. Εἰ δὲ ἀρσενικὸν ἔχει, τῷ τέλει τῆς Γενικῆς τοῦ ἀρσενικοῦ ὁμοχρονεῖ· θεῖος, θείου, θεῖα.

ηδύς, ηδέος, ηδεῖα. πλὴν τοῦ δῖα.

§. φπή. Εἰ δ' ἀπὸ τῶν εἰς ευ Ῥημάτων γίνεται, μακροκαταληκτεῖ, πρεσβεύω, πρεσβεία.

§. φπθ. Ἔτι ὅσα καθαρὸν ἔχοντα τὸ α, τῇ αι παραλήγει διφθόγγῳ, δισύλλαβα μὲν ὄντα, βραχυκαταληκτεῖ, μαῖα· ὑπερδισύλλαβα δὲ, μακροκαταληκτεῖ· σεληναία.

§. φι. Τὰ δὲ εἰς α καθαρὸν παροξύτονα, τῷ παραλήγοντα, μακροκαταληκτεῖ· ἀνία, καρδία. πλὴν τοῦ μία.

§. φια. Καὶ ὅλως τὰ εἰς α καθαρὸν παροξύτονα, μακροκαταληκτεῖ· ναυσικάα, ῥέα, πτοία, τροία, μνεία, λεία ὑγεία. πλὴν τοῦ μυῖα, καὶ ὦα.

§. φιβ. Λήγοντα δὲ εἰς ρα, αἱ μὲν μονοφθόγγῳ παραλήγει, μακροκαταληκτεῖ· πήρα. εἰ δὲ διφθόγγῳ, βραχυκαταληκτεῖ· μοῖρα. πλὴν τοῦ φαίδρα, σαύρα, αὔρα, λαύρα.

§. φιγ. Τά γε μὴν εἰς ρα μετ' ἐπιπλεκῆς συμφώνου, μακροκαταληκτεῖ ᾱ· μήτρα, φαίδρα, παλαίστρα.

§. φιδ. Ἔτι τὰ εἰς δα, καὶ εἰς θα, μακροκαταληκτεῖ· λήδα, κισσαίθα· τὰ δ' ἄλλα πάντα βραχυκαταληκτεῖ.

§. φιε. Ἔτι τὰ εἰς ας ἀρσενικὰ βαρύτονα, ἐκτείνεται. Αἴας, Αἰνείας. Πλὴν τοῦ μέγας, καὶ λᾶας.

§. φις. Τὰ δὲ εἰς ας ὀξύτονα, βραχυκαταληκτεῖ· ἀρπὰς, ἐθάς. Πλὴν τοῦ ἱμὰς, καὶ ἀνδρειὰς, καὶ τῶν περι-

περισπωμένων. Θωμᾶς.

§. ριζ'. Ἔτι τὰ εἰς ας οὐδέτερα, βραχυκαταληκτεῖ. γῆρας.

§. ριη'. Ἔτι τὰ εἰς αν οὐδέτερα βαρύτονα, ἀπὸ τῶν εἰς ας ἀρσενικῶν βαρυτόνων γινόμενα, συςέλλει τὸ α. μέλας, μέλαν. τάλας, τάλαν. ἅπας, ἅπαν.

§. ριθ'. Ἔτι τὰ εἰς μα οὐδέτερα, ἀπαθῆ, βραχυκαταληκτεῖ· βῆμα, σῶμα.

§. χ'. Καὶ ὅλως τὰ δίχρονοκατάληκτα οὐδέτερα, συςελλόμενον ἔχει τὸ δίχρονον· δῶρον, πῶν, σίνηπι.

§. χα'. Τὰ γεμὴν ἐπὶ τῶν γραμμάτων μονοσύλλαβα οὐδέτερα ἄκλιτα, ἐκτείνεται· μῦ, νῦ, ξῖ, πῖ, φῖ, χῖ, ψῖ. μακρὸν δὲ καὶ τὸ κῖ, ἐκ τοῦ κρῖμνον ἀποκοπέν.

§. χβ'. Τὰ δὲ εἰς ξ λήγοντα, ἀρσενικὰ μὲν ὄντα, μακροκαταληκτεῖ· θώραξ, φοίνιξ, κήρυξ· θηλυκὰ δὲ, βραχυκαταληκταῖ· αὐλαξ πίδαξ. τὰ δὲ μονοσύλλαβα, ἀεὶ συςέλλεται· δρὰς θρὶξ φρύξ.

§. χγ'. Τὰ δὲ εἰς ις βαρύτονα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ βραχυκαταληκτεῖ. τὸ ὄρνις ἐκτείνουσιν οἱ Ἀττικοὶ καὶ τὸ ἐλαφηβόλος καὶ τὰ ὅμοια σύνθετα.

§. χδ'. Τὰ δὲ εἰς υς ὀξύτονα δὲ θηλυκὰ ὄντα, τῷ δ κλινόμενα, βραχυκαταληκτεῖ· κεραμὶς, πυκνὶς, θυείς.

§. χε'. Ἔτι τὰ εἰς σ, λήγοντα μετὰ διχρόνου, καὶ ἀποβολῆ τοῦ σ, ποιοῦντα οὐδέτερον, συνεσταλμένον ἔχει τὸ δίχρονον· ἡδὺς, ἡδύ. μέγας, μέγα.

§. χς'. Ἔτι τὰ εἰς υς βαρύτονα, βραχυκαταλη-

κτεῖ.

κτεῖ. βότρυς, πῆχυς, ἄδακρυς.

§. χζ'. Τὰ δὲ εἰς υς μονοσύλλαβα, καὶ μὴ, ἐὰν ὀξύτονα ᾖ, μακροκαταληκτεῖ· σῦς, μῦς, ὀρῦς, ὀφρῦς, πληθύς.

§. χη'. Ἐν δὲ τῇ συνθέσει τὰ εἰς υς ὀξύτονα ἀναβιβαζοντα τὸν τόνον, συςέλλει τὴν λήγουσαν· οἷον, ὀφρῦς, ὑπέροφρυς.

§. χθ'. Ἔτι πᾶν ἀρσενικὸν καὶ θηλυκὸν εἰς ἁμετάβολον λῆγον, μακροκαταληκτεῖ· πλὴν τοῦ μάκαρ, δάμαρ, Καῖσαρ.

§. χι'. Διὸ καὶ τὰ εἰς ων ἀρσενικὰ, καὶ θηλυκὰ, καὶ ἔτι τὰ εἰς ωρ, μακροκαταληκτεῖ· σώφρων, Νέσωρ, ἀμήτωρ· τὰ δὲ οὐδέτερα βραχυκαταληκτεῖ· σῶφρον, ἦτορ. πλὴν τοῦ ὕδωρ.

§. χια'. Ἔτι τὰ εἰς ος ἀρσενικὰ, καὶ θηλυκὰ, καὶ τὰ εἰς ον οὐδέτερα, κοινὰ μὲν ὄντα, βραχυκαταληκτεῖ· Ἀττικὰ δὲ, μακροκαταληκτεῖ.

§. χιβ'. Τὰ δὲ εἰς ψ, λήγοντα μετὰ διχρόνου, μακροκαταληκτεῖ· μετὰ γεμὴν τοῦ σ, βραχυκαταληκτεῖ· πλὴν τῶν ἀπὸ τοῦ ὤπα, τοῦ σημαίνοντος τὸ ὀφθαλμόν· οἷον, κύκλωψ, ἐξαιρείσθω καὶ τὸ κύκλωψ, καὶ κώνωψ, καὶ ῥώψ.

Γενικὴ.

§. χιδ'. Ἡ δὲ γενικὴ ἰσοσυλλαβοῦσα μὲν τῇ εὐθείᾳ, μακροκαταληκτεῖ· περιττοσυλλαβοῦσα δὲ, βραχυκαταληκτεῖ.

Δο-

Δοτική.

§. χιδ'. Καὶ ἡ δοτικὴ ὁμοίως, τῶν μὲν ἰσοσυλλάβων, μακροκαταληκτεῖ ἀεί· τῶν δὲ περιττοσυλλάβων βραχυκαταληκτεῖ. τὸ δὲ θέτι, καὶ μήτι, ἐκ συναιρέσεως.

Αἰτιατική.

§. χιέ. Ἡ δὲ αἰτιατικὴ, τῶν μὲν ἰσοσυλλάβων, ὁμόχρονος τῇ εὐθείᾳ· Αἰνείας, Αἰνείαν· τῶν δὲ περιττοσυλλάβων, ὁμόχρονος τῇ γενικῇ· Αἴαντος, Αἴαντα. Ὅθεν δὴ καὶ Ἀθηναῖοι, ὅτι Πηλέως, καὶ Ἀχιλλέως μακρογραφοῦσι, μακρὸν λαμβάνουσι τὸ α τῆς αἰτιατικῆς τῶν εἰς ευς, ἵνα ἰσόχρονος τῇ γενικῇ ᾖ. καὶ μὴν δέδορκα τήνδε Πηλέα πέλας.

§. χις'. Ὅθεν καὶ ἡ εἰς ν λήγουσα αἰτιατικὴ τῶν περιττοσυλλάβων. ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ, ὁμόχρονος αὐτῇ ἐστιν· οἶκα, μῆνις, μῆνιν. πληθὺς, πληθύν. ὀφρῦς, ὀφρῦν.

Κλητική.

§. χιζ'. Κλητικὴ δὲ πᾶσα τὸν ἴσον χρόνον τῇ ἰδίᾳ Εὐθείᾳ ἔχει, ἢ καὶ ἐλάττω, μείζω, δὲ οὐδέποτε. διὸ καὶ τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα, ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην, ποιεῖ τὴν Κλητικὴν· Νέσορος, Νέσορ. ἄρσενος, ἄρσεν. μαχάονος, μαχάον. Πλὴν τοῦ Ἀπόλλων, Ποσειδῶν.

§. χιη'.

§. χιη'. Τῶν δὲ Πρωτοκλίτων τὰ ἀπὸ τῶν εἰς ης, α ποιοῦντα τὴν Κλητικὴν, συσέλλει τὸ α· δολομῆτα, πολῖτα, Πέρσα.

§. χιθ'. Καὶ τῶν Πεμπτοκλίτων δὲ ἡ ἀπὸ τῶν εἰς ας Κλητικὴ εἰς αν, συσέλλει τὸ α, ὁ Αἴας, ὦ Αἶαν. τὰ δὲ ἐκ τοῦ δάμνω σύνθετα, ἀποβάλλοντα τὸ ν, τηροῦσι τὸ α μακρόν· ὦ Πολυδαμα, ὦ Λαοδάμα.

Δυϊκά.

§. χκ'. Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν, τῶν μὲν ἰσοσυλλαβων, μακροκαταληκτεῖ· τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ. Ἡ δὲ γενικὴ, ἀεὶ μακροκαταληκτεῖ.

Πληθυντικά.

§. χκα'. Τῶν δὲ πληθυντικῶν ἡ μὲν εὐθεῖα βραχυκαταληκτεῖ, τῶν μὲν ἰσοσυλλάβων εἰς αι, ἢ εἰς οι, λήγουσα, τῶν δὲ περιττοσυλλάβων, εἰσες. Ἡ δὲ γενικὴ, ἀεὶ μακροκαταληκτεῖ.

Δοτική.

§. χκβ'. Ἡ δὲ Δοτικὴ, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ τῇ διφθόγγῳ. τῶν δὲ περιττοσυλλάβων βραχυκαταληκτεῖ τῷ ι. ὅλως δὲ τὴν παρὰ λήγουσαν ἰσοχρονεῖ ταῖς ἄλλαις πλαγίαις. ἐνίοτε δὲ καὶ μείζω ἔχει τὸν χρόνον· ὡς ἐπὶ τοῦ λέοντος, λέουσι. καὶ λέγοντος, λέγουσι.

§. χκγ'.

§. χχγ'. Καθόλου γὰρ τὰ διὰ τοῦ ντ, κλινόμενα, ἐπὶ μὲν τῶν ἄλλων πλαγίων συστέλλει τὴν παραλήγουσαν, ἐπὶ δὲ τῆς Πληθυντικῆς Δοτικῆς ἐκτείνει αὐτήν· παντὸς, πᾶσι· ἰμάντος, ἱμᾶσιν· ἱσάντος, ἱσᾶσι· βάντος, βᾶσι· τιθέντος, τιθεῖσι· ζευγνῦντος, ζευγνῦσι· καὶ τὰ ὅμοια.

§. χχδ'. Αἱ δὲ τῶν συγκοπτομένων Πληθυντικαὶ Δοτικαὶ, βραχυπαραλήκτοῦσιν· ἀνδράσι, πατράσι, μητράσι, θυγατράσι.

Αἰτιατική.

§. χχε'. Ἡ δ' Αἰτιατικὴ, τῶν μὲν ἰσοσυλλάβων, μακροκαταλήκτει ἀεί. τῶν δὲ παριττοσυλλαβων, βραχυκαταλήκτει. Ἡ δὲ Κλητικὴ, τῇ Εὐθείᾳ ὁμοίως.

Περὶ τῶν Πεμπτοκλίτων.

Κανονες.

§. χχς'. Τῶν δὲ τῆς Πέμπτης Κλίσεως οὐκ ἀεὶ τὰ δίχρονα ἐπὶ τῆς Γενικῆς, καὶ τῶν ἄλλων πλαγίων, οἷα ἐπὶ τῆς Εὐθείας, ἀλλ' ἕνια μὲν μακρὰ ὄντα, συστέλλεται· ἕνια δὲ ἀνάπαλιν· οἷον, τὰ εἰς ιξ ἅπαντα μακρὰ παραλήγει, καί τοι διαφορούμενα ἐπ' εὐθείας, ὡς εἴρηται, φοίνικος, κήρυκος.

§. χχζ'. Τὰ δὲ μονοσύλλαβα εἰς ξ, τὸ θραχὺ σώζει· σίξ, σιχός. φρύξ, φρυγός. πλάξ, πλακός. πλὴν τοῦ ῥάξ, ῥᾶγός. ὅθεν ῥᾶγας. σεσημειώσθω δὲ καὶ τὸ Θρᾷξ, Θρᾳκός.

§. χχη'.

§. χχη'. Ἔτι τὰ εἰς αξ ἀρσενικὰ δισύλλαβα, εἰ μὲν φύσει μακρᾷ παραλήγει, μακρὸν σώζει τὸ α· θώραξ, θώρακος· οἶαξ, οἴακος. εἰ δὲ μὴ, τρέπει αὐτὸ εἰς θραχύ· οἶον, κόλαξ, κόλακος· ἅρπαξ, ἅρπαγος. πλὴν τοῦ φέναξ, φένακος, πόρπαξ, ὁρπακος, κόρδαξ, κορδακος.

§. χλθ'. Τὰ δὲ εἰς αξ ὑπερδισύλλαβα θραχυπαραλήκτα, ἐν ταῖς πλαγίαις ἐκτείνει τὸ α· ἱέραξ, ἱέρακος. πλὴν τοῦ ἀσπάλαξ, ἀσπάλακος.

§. χλ'. Ἔτι τὰ εἰς αρ μονοσύλλεβα τὸ μακρὸν σώζει. ὁ χὰρ, τοῦ χαρὸς, οἱ χᾶρες.

§. χλα'. Ἔτι τὰ εἰς αν ἀρσενικὰ ὀξύτονα, ἁπλᾶ, εἰς ανος ποιοῦντα τὴν γενικὴν τὸ μακρὸν σώζει· ὁ πὰν, τοῦ πανὸς, τὸν πᾶνα· ὁ τιτὰν, τοῦ τιτᾶνος. ὁ παιὰν, τοῦ παιᾶνος.

§. χλβ'. Τὰ δὲ εἰς ας ἀρσενικὰ βαρύτονα, ἐπὶ τῆς εὐθείας μακρὸν ἔχοντα τὸ α, ἐν ταῖς πλαγίαις μεταβάλλει εἰς τὸ θραχὺ· μέλας, μέλανος. τάλας, τάλανος.

§. χλγ'. Τὰ εἰς αυς τὸ μακρὸν σώζει, γραῦς, γρᾱός. ναῦς, νᾱός. ὅθεν γρᾶες, καὶ νᾶες.

§. χλδ'. Τὰ δὲ εἰς αψ, συστέλλει τὸ α· λοίσθαψ, λοίσθαπος. ἄραψ, ἄραβος.

§. χλε'. Τὰ δὲ εἰς ις ὀξύτονα, θηλυκὰ δισύλλαβα, τῷ δ κλινόμενα, φύσει μακροπαραλήκτα, καὶ μήτε ὑποκοριστικὰ, μήτε κύρια, ἐπὶ μὲν τῆς εὐθείας θραχὺ ἔχει τὸ ι· ἐπὶ δὲ τῆς γενικῆς· φύσει μακρὸν κνημῖδος, κληῖδος. βαλτῖδος· ἀπὸ χὰρ τοῦ βηλοῦ.

§. χλς'. Τουναντίον δὲ τὰ εἰς ψ· θραχεῖα γὰρ

ἰπὸς,

ἰπὸς, γυπός. ὥσπερ καὶ τὰ μονοσύλλαβα· μυὸς, μυός, δρυὸς, παντός.

§. χλζ'. Τὰ γε μὴν εἰς ις μονοσύλλαβα τὸ μακρὸν σῴζει· ὁ λὶς, τοῦ λιός· οἱ λῖες. ἡ ἶς, τῆς ἰνὸς αἱ ἶνες. τὶς δὲ τινός, τὸ βραχύ.

§. χλή. Ἔτι τὰ δικαταλήκτα, ἐπὶ γενικῆς μακροκαταληκτεῖ. ἀκτῖνος, δελφῖνος. Καὶ τὸ φόρκυν δὲ, καὶ πέλτυν, πλαγιαζόμενα ἐκτείνεται.

§. χλθ'. Τὰ δὲ τῶν ἐπιθέτων τρισύλλαβα εἰς ις, πάντα βραχὺ τὸ ι σῴζει, εἴτε μακρᾷ, εἴτε βραχείᾳ παραλήγουσαν τὴν Εὐθεῖαν ἔχοντα· αὐλητρίδος, στρατηγίδος.

§. χμ'. Τὰ γε μὴν παραλήγοντα, καὶ ἅμα προπαραλήγοντα βραχείᾳ, ἐκτείνεται ἐπὶ τῆς Γενικῆς. ὡς τὸ πλοκαμῖδος. Ποιηταὶ δὲ καὶ τούτοις βραχὺ τὸ ι φυλάττουσιν, ἐπαντιθέντες τὸ η. ποταμηΐδος, παγασηΐδος.

§. χμά'. Τὰ δὲ εἰς ις βαρύτονα, τῷ δ, ἢ τ, κλινόμενα, τὸ βραχὺ σῴζει· θέμις θέμιδος. νεᾶνις, νεᾱνίδος. χάρις, χάριτος.

§. χμβ'. Καθόλου δὲ τὸ υ, ἐπὶ τῆς Εὐθείας μακρὸν ὂν, βραχύνεσθαι φιλεῖ ἐπὶ τῶν πλαγίων, ἔν τε τοῖς μονοσυλλάβοις, καὶ μὴ· οἷον, πῦρ, πυρὸς· σῦς, συός. ὀφρῦς, ὀφρύος. πληθὺς, πληθύος.

Περὶ τῶν εἰς ων Πεμπτοκλίτων.

Κανονες.

§. χμγ'. Ὅσα τῶν εἰς ων ἀρσενικῶν βαρυτόνων παρωνυ-

ρώνυμα, μακρὸν οὕτω σῴζει τὸ ω καὶ ἐπὶ τῆς γενικῆς, καὶ ἐπὶ τῶν ἄλλων Πλαγίων· Θέων, Θέωνος.

§. χμδ'. Ὅσα δὲ ῥηματικὰ, ἢ κοινὰ τῷ γένει, μεταβάλλει εἰς τὸ βραχύ· φιλίμων, φιλίμονος. σώφρων σώφρονος.

§. χμέ'. Φυλάττει δὲ τὸ μακρὸν καὶ τὰ περιεκτικὰ καὶ τὰ ὡς περιεκτικά· ἐλεῶνος, ἀγκῶνος. πλὴν τοῦ κανὼν, κανόνος.

§. χμς'. Καὶ τὰ ἐκ συναιρέσεως· Ποσειδῶνος, Ξενοφῶντος.

§. χμζ'. Καὶ τὰ βαρύτονα θηλυκὰ, φυλάττει μήκων, μήκωνος.

§. χμή'. Καὶ ὀξύτονα δὲ πόλεων ὀνόματα ὄντα, φυλαττει· Σιδῶν, Σιδῶνος. πλὴν τοῦ Ἀνθηδόνος, καὶ Ὀλοσσόνος. καὶ Χαλκηδόνος.

§. χμθ'. Ἔτι τὰ εἴστι τῶν μέσων συμφώνων ἀσχαστοσυλλαβοῦντα, φυλάττει· τρίβων, στράγων, κώδων. πλὴν τοῦ σπηδῶν, καὶ Μακεδών· καὶ ὅλως τῶν ῥηματικῶν τε, καὶ ἐθνικῶν. καὶ κοινῶν τῷ γένει.

§. χν'. Ἔτι τὰ εἴς τι τῶν ψιλῶν· Λάκων, σίλλων, Πλάτων· πλὴν τοῦ πέπων.

§. χνά'. Ἔτι τὰ εἴς τι τῶν δασέων καθαρῶν· κρίτων, τρύφων, γλίχων.

§. χνβ'. Ἔτι τὰ εἴς τι τῶν ἀμεταβόλων καθαρῶν· Ἅλων, Σόλων, Ἀπόλλων, Ἄμμων, ζήνων, τρήρων. ἐξαιρείσθω τὰ συγκριτικὰ καὶ ῥηματικὰ καὶ κοινὰ τῷ γένει. καὶ τὸ σήμων, καὶ τέλμων, καὶ ῥυμῶν.

§. χνγ'.

§. χνγ'. Ἔτι τὰ εἰς σων, τὸ μακρὸν σῴζει· καύσων, βρύσων. πλὴν τοῦ Ἰάσων, καὶ Αἴσων· ῥηματικὰ γάρ.

§. χνδ'. Καὶ τὰ μονοσύλλαβα, φυλάττει, κλωνὸς, πρωνός. πλὴν τοῦ χθὼν, χθονός.

§. χνε'. Ἔτι τὰ τῇ αι, ἢ τῷ ε παραλήγοντα, καθαροκατάληκτα, φυλάττει· Αἰγαίων, Ἀνδροτίων, Πυγμαλίων, ἴων· πλὴν τοῦ ἰξίων, Ἀμφίων, Ὑπερίων, Πανδίων.

§. χνς'. Καθόλου δὲ τὰ καθαροκατάληκτα ὀξύτονα, φυλάττει· ἀπατεών· εἰη δ' ἂν ταῦτα καὶ ὡς Περιεκτικά.

§. χνζ'. Τάγε μὴν ἄλλως ὀξύτονα θηλυκὰ, εἰς το βραχὺ μεταβάλλει. τρυγὼν, τρυγόνος.

§. χνη'. Ἔτι τὰ εἰς ων παραλήγοντα τῷ υ ὀξύτονα μὲν ὄντα, συσέλλεται· Ἀμφιτρυὼν, ἀλεκτρυών. παροξύτονα δὲ, οὐ. Ἀμφιτρύων, ἀλεκτρύων.

§. χνθ'. Καὶ ὅλως τὰ εἰς ων καθαροκατάληκτα, ἂν μακρῷ παραλήγῃ διχρόνῳ, εἰς τὸ βραχὺ μεταβάλλει· λιγνὺς. καὶ Περικτίων δὲ, Περικτίονος, καί τοι βραχὺ παραλῆγον, τὰ δὲ βραχυπαραληκτοῦντα, το μακρομοιοῦσι· εὐρυτίωνος.

§. χξ'. Ἔτι τὰ εἰς ων καθαρὸν βαρύτονα, τῷ α παραλήγοντα, συσέλλεται. Ποσειδάονος, μαχάονος.

§. χξά. Ἔτι τὰ παραλήγοντα τῷ η, εἴτε ὀξύτονα, εἴτε παροξύτονα, μεταβάλλει· Σαρπηδών, Παιήων.

§. χξβ'.

§. χξβ'. Ἔτι τὰ συγκριτικὰ πάντα, μεταβάλλει εἰς τὸ βραχύ· κρείττονος, βελτίονος.

§. χξγ'. Καὶ τὰ ἐθνικὰ· πλὴν τοῦ Καύσων, μάλων, λάκων.

§. χξδ'. Καὶ τὰ δύο σύμφωνα διάφορα ἔχοντα· δυκόφρων, ἐνοσίχθων.

Περὶ τῶν εἰς ωρ.

§. χξε'. Τῶν δὲ εἰς ωρ βαρυτόνων, ὅσα μὲν ἔχει τὸ λ, ἢ τὸ μ, ἑσχατοσυλλαβοῦν, μακρὸν αὐτὸ φυλάττει τὸ ω, καὶ ἐπὶ τῆς γενικῆς· ἕλωρος, τέκμωρος ὅσα δὲ μή, εἰς τὸ βραχὺ τρέποντα κλίνεται, Νέστορος.

Περὶ τῶν εἰς ως.

§. χξς'. Ἔτι τὰ εἰς ως, ἢ τῷ καθαρῷ κλινόμενα, ἢ τῷ τ, τὸ μακρὸν σῴζει· ἥρως, ἡρῶτος.

Περὶ τῶν εἰς ωψ.

§. χξζ'. Τὰ δὲ εἰς ωψ, ὡς ἐπὶ τῆς εὐθείας, οὕτω καὶ ἐπὶ τῆς γενικῆς ἔχει.

Περὶ τῶν ἀρκτικῶν τε καὶ μετ' ἄλλων χρόνων τῶν Ονομάτων

Κανόνες.

§. χξη'. Τὸ ερητικὸν α, βραχύ, εἰμὴ διὰ μέτρον μηκύνοιτο· οἷον, καὶ τὸ, ἀθάνατος.

§. χξθ'. Τὲ α, πρὸ τοῦ 6, ἢ μ, συς΄χλεται· ἄβυδος, ἄμιλλα. πλὴν τοῦ ἀμητός.

§. χο'. Τὰ ἐκ τοῦ ἀεὶ σύνθετα, ἐκτεταμένον ἔχει τὸ α, ἀέναος, ἀΐδιος.

§. χοά. Καθόλου πᾶν δίχρονον ἐκ χράσεως ὂν, ἐκείνεται. ἱερεὺς, ἶρηξ, μήτι, εὐκλεᾶ.

§. χοβ'. Ἀνάπαλιν δὲ τὰ δίχρονα μετὰ τὴν διάλυσιν τῶν διφθόγγων συςέλλεται· παῖς, ἄδης. οἶομαι. εἰμὴ δια μέτρον μηκύνοιτο.

§. χογ'. Τὸ ι πρὸ τοῦ τ, ἀρκτικὸν ὂν, βραχύ. ἔτης, ἰτέα.

§. χοδ'. Τὰ εἰς ακος ὀξύτονα ἐπίθετα, βραχυπαραληκτεῖ· κακὸς, μαλθακός.

§. χοε'. Τὰ εἰς αλος ὀξύτονα ἐπίθετα βραχυκαταληκτεῖ· ὁμαλὸς, ἀπαλός· τὸ δὲ καλὸς καὶ ἐκτείνει τὸ α.

§. χος'. Τὰ εἰς ανος, δισύλλαβα ὀξύτονα, μακροκαταληκτεῖ· τρανὸς, φανὸς, μανός· τὰ δὲ τρισύλλαβα, βραχυπαραληκτεῖ· λιχανὸς, πιθανός· πλὴν τοῦ ἱκανός· τὰ δὲ ὑπὲρ τὴν τρισυλλαβίαν, ἐκτείνει τὸ α· πλὴν τοῦ ὠκεανὸς, καὶ Ἰουλιανός.

§. χοϛ'. Τὰ εἰς ος καθαρὸν ὀξύτονα, διχρόνῳ παραλήγοντα, μακροπαραληκτεῖ· ναὸς, κριὸς, ἰός· πλὴν του βιὸς, καὶ ἀγλαός.

§. χοη'. Τὰ δὲ εἰς ος δισύλλαβα, οὐδέτερα τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ· χάος, φάος. πλὴν τοῦ φᾶρος.

§. χοθ'.

§. χοθ'. Ἔτι τὰ εἰς ρος καθαρὸν, ἀρσενικὰ δισύλλαβα, τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ· ταρὸς, λαρός.

§. χπ'. Ἔτι τὰ εἰς αρος ὀξύτονα, ἀπὸ βαρυτόνων ῥημάτων διφθογγογραφῶν παραγόμενα, βραχυπαραληκτεῖ· καθαίρω, καθαρὸς· μιαίνω, μιαρός· Καὶ τὰ παρώνυμα δὲ ἀπὸ ὀνομάτων βραχυκαταλήκτων, ὁμοίως· ῥῦπος, ῥυπαρός. πίνος, πιναρός· σιβὰς, σιβαρός· τὰ γε μὴν ἀπὸ τῶν εἰς α θηλυκῶν μακροκαταλήκτων παρώνυμα εἰς ρος, μακρὸν σώζει τὸ α· ἀνία, ἀνιαρός· τὰ δὲ προπαροξύτονα εἰς αρος, βραχυπαραληκτεῖ· βάρβαρος, ἴκαρος, φλύαρος.

§. χπά. Ἔτι τὰ εἰς αριον ὑποχορισικὰ συνεσταλμένον ἔχει τὸ α. ἱππάριον, φυλλάριον.

§. χπβ. Ἔτι τὰ εἰς ατος ὑπερθετικὰ, βραχυπαραληκτεῖ· σοφώτατος.

§. χπγ'. Τὰ δὲ εἰς ασα θηλυκὰ, ἀπὸ τῶν εἰς ας ἀρσενικῶν γινόμενα, μακρὸν τηροῦσι τὸ παραλῆγον α· ὁ πᾶς, ἡ πᾶσα. ὁ σὰς, ἡ σάσα.

§. χπδ. Ἔτι τὰ ια θηλυκὰ, τῷ ε παραλήγοντα, βραχυπαραλυκτεῖ· καρδία· εἰ μή τι ἐκ συναιρέσεως, οἷον, τὸ δῖα.

§. χπε'. Ἔτι τὰ εἰς ας ἀρσενικὰ βαρύτονα, τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ· κοχλίας.

§. χπς'. Ἔτι τὰ ἀπὸ τοῦ τρίβω σύνθετα εἰς ιβης, βραχυπαραληκτεῖ· παιδοτρίβης.

§. χπζ. Ἔτι τὰ εἰς ιδης, καὶ αδης, Πατρωνυμικὰ,

κὰ, βραχυπαραληκταῖ· Κρονίδης, Αἰακίδης.

§. χπή. Ἔτι τὰ εἰς κος, καὶ εἰς κον, κτητικὰ, βραχυπαραληκταῖ τῶ ι· μουσικὸς, Ἀττικόν.

§. χπθ. Ἔτι τὰ εἰς λος, εἴτε τῷ ι, εἴτε τῷ υ, βραχέϊ παραλήγει· φίλος, σύλος· πλὴν τοῦ πίλος.

§. χιί. Ἔτι τὰ εἰς ιμος παράγωγα, ὑπερδισύλλαβα, ἁπλᾶ, συγέλλει τὸ ι· Ἄνθιμος· ἄλκιμος. κύδιμος, πρωΐμος. τὸ δὲ ἄτιμος, βούλιμος, ἴφθιμος σύνθετα.

§. χιά. Τὰ εἰς ιμος δισύλλαβα, μακροπαραληκταῖ· σιμὸς, μῖμος.

§. χιβ. Ἔτι τὰ εἰς ινος βαρύτονα, εἴτε δισύλλαβα, εἴτε μὴ, μακρᾷ παραλήγει· λῖνος, βαρῖνος, πλὴν τοῦ καρκίνος, καὶ πῖνος.

§. χιγ. Τὰ δὲ εἰς ινος ὑπερδισύλλαβα, ὀξύτονα, χωροῦντε, καὶ ὥρας ἐνομασκὰ, βραχυπαραληκταῖ· ἐαρινὸς, θερινὸς, νυκτερινός· εὑρηται μέντοι καὶ ἐκτεινόμενα παρὰ Ποιηταῖς ταῦτα.

§. χιδ. Καὶ ὅλως τὰ εἰς ινος ὀξύτονα, βραχυπαραληκταῖ· πλὴν τοῦ θαμινὸς, καὶ ἐρινός.

§. χιέ. Ἔτι τὰ εἰς ινος μετουσιαστικὰ, βραχυπαραληκταῖ· ξύλινος, κέδρινος, λάϊνος.

§. χις. Τὰ δὲ εἰς ινη ὑπερτρισύλλαβα, μακρᾷ παραλήγει· ἠρώϊνη, μολυβδίνη· πλὴν τοῦ εἰλαπίνη, καὶ τῶν ἐπὶ πόλεων.

§. χιζ. Ἔτι τὰ εἰς ινη τρισύλλαβα, ὅσα καὶ τὴν πρὸ τοῦ ι βωλλαβὴν μακρὰν ἔχει, μακροπαραληκταῖ· ὀξίνη, ὑσμίνη, δωτίνη.

§. χιη. Ἔτι τὰ εἰς ινη δισύλλαβα, μακρᾷ παραλήγει· ῥίνη, δίνη. πλὴν τοῦ κλίνη.

§. χιθ. Ἔτι τὰ εἰς ιος ἑαυτόνα, βραχέϊ παραλήγει. πλὴν τοῦ δῖος, κῖος, χῖος, τῖος, ἐκ συναιρέσεως ὄντων.

§. ψ. Ἔτι τὰ εἰς ιον ὑποκοριστικὰ, βραχυπαραληκταῖ· βιβλίον, γραμμάτιον.

§. ψά. Ἔτι τὰ εἰς ισος βραχυπαραληκταῖ· ἴσος, μίσος τὸ μίασμα. πλὴν τοῦ μῖσος, ὄθεν τὸ μισῶ· καὶ τὸ ἴστος δὲ ἐκτείνεται παρὰ Ποιηταῖς.

§. ψβ. Τὰ γε μὴν εἰς ιτις σχηματιζόμενα, μεσοσυλλαβοῦντος τοῦ ι, καὶ παραλήγοντες, μακροπαραληκταῖ· ταχυῖτης, πολῖτης.

§. ψγ. Καθόλου γὰρ τὰ εἰς της, εἴτε τῷ ι, εἴτε τῷ ν, μακροπαραληκταῖ· πολῖτης, πρεσβῦτης. πλὴν τοῦ κριτὴς, καὶ τῶν ἀπὸ τούτου δικαιοκρίτης.

§. ψδ. Ἔτι τὰ εἰς ιτης, καὶ ιτη θηλυκὰ, μακρᾷ παραλήγει· πολῖτις, πρεσβῦτις, Ἀφροδίτη, Ἀμφιτρίτη.

§. ψέ. Τὰ δὲ ἀπὸ ῥημάτων διφθογγογράφων γινόμενα διὰ τοῦ ι, ἔραχυ τὸ ι ἔχει· πειθὼ, πειθανός· λαίχω, λιχανός· εἰ δὲ σῖδες ἀπὸ τοῦ σείειν, οὐδὲ τοῦτο καθόλου· ἔστι γε μὴν ὡς ἐπὶ τὸ πλεῖστον τὰ ὀνόματα βραχύτερα τῶν ῥημάτων ἀφ' ὧν παράγονται.

§. ψς. Τὰ δὲ εἰς ιων δισύλλαβα, μὴ ὄντα κύρια,

ρια, τῷ ι παραλήγοντα, μακροπαραληκτεῖ κίων, πίων. πλὴν τοῦ ἵων.

§. ψζ'. Ἔτι τὰ εἰς ων καθαρὸν συγκριτικὰ, μακρὰν ἔχει τὴν παραλήγουσαν· βελτίων.

§. ψη'. Ἔτι τὰ εἰς υλον οὐδέτερα, μακροπαραληκτεῖ· σκῦλον, φῦλον. Πλὴν τοῦ ξύλον καὶ φύλλον.

§. ψθ'. Ἔτι τὰ εἰς μα καθαρὸν οὐδέτερα, φύσει μακρᾷ μάλιστα παραλήγει· ἄλλως τε παράγωγα ὄντα ἀπὸ τοῦ Παθητικοῦ Παρακειμένου· οἷον, θῦμα, Ρῦμα, λῦμα, χῦμα, κῦμα· καὶ νᾶμα, κρᾶμα· ἐξαιρείσθω τὰ ἀπὸ τῶν εἰς με. θέμα, δόμα· καὶ πρὸς τούτοις τὸ σῶμα. Ἀνάπαλιν δὲ τὰ εἰς μος καθαρὸν, φύσει γὰρ βραχεῖα τὰ πολλά· πύσμα, τάγμα· πλὴν τοῦ πρᾶγμα.

§. φί. Ἔτι τὰ εἰς μος καθαρὸν δισύλλαβα, τῶν παραλήγοντα, μακροκαταληκτεῖ· χυμὸς, θυμός.

§. ψια'. Ὅλως τε ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου ἀρσενικὰ εἰς μος, μακρὰν βούλεται ἔχειν τὴν παραλήγουσαν, ἅτοι φύσει, ἢ θέσει· διὸ καὶ ἔστι μὲν οὗ προσλαμβάνοντα τὸ σ, μηκύνεται· δεμαι, δεσμός. ἔστι δ' οὗν αὐτὴν ἐκτείνει τὴν παραλήγουσαν ἐπὶ τοῦ φύσει μακρόν· τέθυμαι, θυμός· λέλυμαι, λυμός· κέχυμαι, χυμός.

§. ψιβ'. Ἀνάπαλιν δὲ τὰ ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ θηλυκὰ εἰς ις, βραχυπαραληκτεῖ γάρ· δέδμαι, δύσις, κέχυσαι, χύσις. πέπλασαι, πλάσις. τέτισαι,

τίσις πλὴν τοῦ κρᾶσις, πρᾶσις, καὶ πρᾶξις.

§. ψιγ'. Τὰ δὲ εἰς υνος δισύλλαβα, μακροπαραληκτεῖ· φρῦνος, θῦνος· πλὴν τοῦ πλυνός· καὶ ὑπερδισύλλαβα δ' ὄντα, μακρᾷ παραλήγει· κένδυνος, ἀνεύθυνος, πάλυνος. διὸ καὶ τὸ βόθυνος ἀναλόγως ἐκτείνουσιν οἱ Ἀττικοί. τὸ δὲ λάγυνος, καὶ τὰ ὅμοια, τὸν τοῦ γυνὴ ἔχει χρόνον.

§. ψιδ'. Ἔτι τὰ εἰς ινη δισύλλαβα, μακροπαραληκτεῖ μύνη, φρήνη. πλὴν τοῦ γυνή. τὰ δὲ ὑπὲρ τὴν δισυλλαβίαν, συστέλλεται. δικαιοσύνη, βριθοσύνη, κορώνη.

§. ψιε'. Τὰ ἀπὸ τοῦ πῦρ σύνθετα, ὡς τὰ πολλὰ συστέλλει τὸ υ· πυραγρα ἔμπυρος, διάπυρος.

§. ψις. Ἔτι τὸ δίνη, νίκη, σιγὴ, τιμὴ, φρένη, ὕλη, ψυχὴ, κῦδος, μῦθος, χρυσὸς καὶ τὰ ἐξ αὐτῶν σύνθετα, καὶ παράγωγα, μακρὸν ἔχει τὸ δίχρονον.

Περὶ Χρόνου τῶν Ῥημάτων.

Κανόνες.

§. ψιζ'. Πᾶν ῥῆμα εἰς ω μὲν λῆγον, μακροκαταληκτεῖ· εἰς ον δὲ, βραχυκαταληκτεῖ· εἰμὶ, σύνημένον εἴη· οἷον, τὸ, ἐβόων, ἐγέλων. ἐξαιρείσθω ὁ δεύτερος Ἀόριστος τῆς τρίτης τῶν εἰς μι· ἔδων, ἔγνων.

§. ψιη'. Τὰ εἰς μι λήγοντα ῥήματα, βραχυκαταληκτεῖ· ἵημι, δίδωμι.

§. ψιθ'.

§. ψιθ'. Ἔτι καθόλου τὸ ληκτικὸν ι, ᾧ προτίθεται τὸ ἐφελκυστικὸν ν, βραχύ· τίθησι, τύπτουσιν, ἔδωσιν, ἔπασι.

§. ψκ'. Τὸ ὀφειλόμενον α τῷ ἀορίστῳ βραχύ.

§. ψκα'. Πᾶς παρακείμενος ἔβραχυκαταληκτεῖ.

§. ψκβ'. Καὶ πᾶς δὲ ἀνάδιπλασιασμὸς, διὰ βραχέος· τέτυφα, τίθημι. καὶ ὅλως αἱ κατ' ἀρχὰς τῶν παρωχημένων προσιθέμεναι συλλαβαὶ βραχεῖαι.

§. ψκγ'. Τὰ ἀπὸ τοῦ ι, καὶ υ, ἀρχόμενα ῥήματα, ἐπὶ μὲν ἐνεσῶτος βραχεῖαν ἔχοντα τὴν ἄρχουσαν ἐν τοῖς παρωχημένοις ἐκτείνει αὐτὴν χάριν τῆς χρονικῆς αὐξήσεως· οἷον, ἴκω, ἧκον. ὑφαίνω, ὕφαινον. Ἰωνικῶς δὲ ἀναυξήτως καὶ ταῦτα.

§. ψκδ'. Τὰ ἀπαρέμφατα μακροκαταληκτεῖ· πλὴν ἐν οἷς ἡ αι διφθόγγος ἐσχατοσυλλαβοῦσα ἀντὶ βραχέος λαμβάνεται.

§. ψκε'. Ἴδιον γὰρ τῆς αι, καὶ οι, τὸ τελικὰς οὔσας ἀντὶ βραχέων λαμβάνεσθαι. πλὴν τῶν συγκρημένων, καὶ εὐκτικῶν, καὶ ἐπιῤῥημάτων· Σαπρεῖ, τύπτοι, οἴμοι, ἐξαιρείσθω τὸ πάλαι ἐπίῤῥημα· βραχυκαταληκτοῦσι γὰρ· ὅθεν καὶ τὸ πρόπαλαι προπαροξυτόνως τονίσαμεν.

Περὶ τῆς παραληγούσης τῶν Ῥημάτων. Κανόνες.

§. ψκς'. Τὰ εἰς ω ῥήματα, ἔχοντα πρὸ τοῦ ω. ἢ φωνῆεν, ἢ τὸ ῥ συλλαβιζόμενον, μακρᾷ παραλήγει· ἄω, ᾶ.

ἔω, πράω. εἰδὲ μὴ βραχυπαραληκτεῖ· ἐλάω.

§. ψκζ'. Τὰ δὲ εἰς ανω ὑπερδισύλλαβα, βραχείᾳ παραλήγει· λαμβάνω, ἀνδάνω· πλὴν τοῦ ἱκανω, καὶ χιλόνω.

§. ψκη'. Ἔτι τὸ προσιθέμενον α Ἰωνικῶς τοῖς τρίτοις, βραχύ· τετύφαται, ἐστύφατο, τίθεασι.

§. ψκθ'. Καθόλου δὲ τὰ εἰς ασι τρίτα πρόσωπα εἴτε ἐνεσῶτος, εἴτε παρακειμένου, μακροπαραληκτεῖ. ἱᾶσι, φασὶ, τετύφασι, πεποιήκασι· πλὴν τῶν Ἰωνικῶν. τιθέασι, διδόασι, ζευγνύασι.

§. ψλ'. Ἔτι τὰ εἰς ινω, μακροπαραληκτεῖ· πίνω, κρίνω.

§. ψλα'. Τὰ δὲ εἰς ω καθαρὸν ἑαυτόνα, ὑπερδισυλλάβα, τῷ ι παραλήγοντα, βραχυπαραληκτεῖ· κυλίω, κονίω μηνίω. πλὴν τοῦ ἐσθίω.

§. ψλβ'. Ἔτι τὰ εἰς ιω περισπώμενα, ἶμαι, ἑστιῶ, ἐρυθριῶ, ἀνιῶ, βραχυπαραληκτεῖ.

§. ψλγ'. Ἔτι τὰ εἰς ω καθαρὸν περισπώμενα, τῷ ο παραλήγοντα· βοῶ· ἐὰν μὴ ἀπὸ Ὀνόματος γένηται· ζωῶ γὰρ, καὶ ἀθωῶ, τῷ μακρῷ, ὡς ἀπὸ Ὀνομάτων τοῦ ζωὴ, καὶ θωή.

§. ψλδ'. Ἔτι τὰ εἰς ανω ὑπερδισύλλαβα, βαρύτονα, μακρᾷ παραλήγει· ὀπτάνω, πραΰνω, μολύνω· καὶ ὅλως τὰ εἰς ινω· πίνω, κρίνω.

§. ψλε'. Τὸ δὲ θύω, καὶ ῥύομαι, καὶ δακρύω, καὶ ψεύδω, διφορεῖται τὸν χρόνον.

§. ψλς'. Καθόλου δ' εἰπεῖν, τὰ τῆς πρώτης, καὶ δευ-

δευτέρας, καὶ τρίτης, καὶ τεταρτης Συζυγίας τῶν βαρυτόνων, διχρόνω παραλήγοντα ῥήματα, βραχυπαραληκτεῖ· πλὴν τοῦ πράττω. τὰ δὲ τῆς πέμπτης, μακροπαραληκτεῖ· χωρὶς τῶν ὑπερδισυλλαβων εἰς ανω· τῶν δὲ τῆς ἕκτης τὰ μὲν εἰς ιω ὑπερδισύλλαβα, βραχυπαραληκτεῖ· πλὴν τοῦ ἐσθίω· τὰ δὲ εἰς υω, διφορεῖται τὸν χρόνον.

§. ψλζ'. Ἔτι ἡ τετάρτη Συζυγία τῶν εἰς μι μακροπαραληκτεῖ τῷ υ· ζεύγνυμι, δύμι, ὁμοίως δὲ καὶ ὁ παρατατικὸς, καὶ Ἀόριστος β'. αὐτῆς ἐκτεταμένον ἔχει τὸ υ· ἐζεύγνυν, ἔδυν, ἔφυν. ἐν δὲ τοῖς Δυϊκοῖς, καὶ Πληθυντικοῖς, τοῦ Ἐνεστῶτος, καὶ Παρατατικοῦ· εἰς τὸ βραχὺ μεταβάλλει. συςέλλεται δὲ καὶ ἐπὶ τοῦ παθητικοῦ ἐνεστῶτος καὶ παρατατικοῦ.

Περὶ τῆς Παραληγούσης τοῦ Μελλοντος.

§. ψλη'. Ὥσπερ δὲ οὐ πάντα τὰ δίχρονα ἐπὶ τῆς γενικῆς, οἷα ἦν ἐπὶ τῆς εὐθείας, οὕτως οὐδ' ἐπὶ τοῦ ἐνεστῶτος, καὶ μέλλοντος ἴσα ἀεὶ, ἀλλὰ τὸ θύω, καὶ πνέω, καὶ κωκύω, διφορούμενα ἐπὶ ἐνεστῶτος, ἐπὶ τοῦ μέλλοντος μακρᾶ ἀεὶ παραλήγει.

§. ψλθ'. Ἔτι τὰ εἰς ιω παροξύτονα· οἷον, κυκλίσκω, ἐπὶ τοῦ μέλλοντος μακροπαραληκτεῖ.

§. ψμ'. Διὸ δὴ εὖ λέγεται, ὅτι πᾶς μέλλων βαρύτονος ἴσην παραλήγουσαν ἔχει τῷ ἐνεστῶτι, ἢ μείζω, οὐδέποτε ἐλάσσω.

§. ψμα'.

§. ψμα'. Ἔτι τῶν εἰς νω, καὶ ὅλως τῶν πεμπτοζύγων ὁ μέλλων βραχεία παραλήγει· ὅθεν καὶ κεκρίκαμεν, καὶ ἐκρίθην, βραχεία παραλήγει· καὶ τὰ ἀπὸ τούτων ὀνόματα, κρίσις, καὶ κρίμα· ἔκρινα δὲ, καὶ κρῖναι, μακρόν.

Περὶ Παρακειμένου.

§. ψμβ'. Πᾶς παρακείμενος εἰς κα, μακρᾶ παραλήγων, εἰ ἀποβάλλοι τὸ κ, συςέλλει τὴν παραλήγουσαν· ἕσηκα, ἕσαα. βέβηκα, βέβαα. τέθνηκα τέθναα. δέδεικα, δέδια.

§. ψμγ'. Ὁ παρακείμενος τῆς πρώτης συζυγίας τῶν βαρυτένων, τῷ α, ἢ τῷ ι παραλήγων, βραχυπαραληκτεῖ· γέγραφα, ἔῤῥιφα.

§. ψμδ'. Τὰ δὲ εἰς πτω, τῷ υ παραλήγοντα, ἐπὶ τοῦ παρακειμένου μακρᾷ φύσει παραλήγει· τύπτω, τέτυφα· κύπτω, κέκυφα. τί γὰρ οἴδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες.

Περὶ Ἀορίστου.

§. ψμε'. Ὁ γεμὴν πρῶτος ἀόριστος ὡς τὰ πολλὰ μακρᾷ παραλήγει· μὴ λανθανέτω δὲ τὸ ἤνυσα, καὶ ἔφρασα, καὶ ἔπτυσα βραχυπαραληκτοῦντα· μηδὲ τὸ ἐπείνασα, καὶ ἐγέλασα, καὶ ἤρυσα, καὶ ὤμοσα.

§. ψμς'. Ὁ δὲ δεύτερος ἀόριστος ἀπὸ θέματος ὢν βαρυτόνου, βραχεία παραλήγει· δεῖ δὲ τὸν αὐτὸν καὶ ὑπερδισύλλαβον εἶναι· ἄλλως γὰρ οὐ καθολου.

Περὶ

Περὶ προστακτικῶν καὶ Ἀπαρεμφάτων.

§. ψμζ. Τὰ εἰς θι Προσακτικὰ, καὶ τὰ εἰς ναι Ἀπαρέμφατα, Ἀορίστου ὄντα, φύσει μακρᾷ παραλήγει· γνῶθι, φᾶθι, κρᾶναι, λεᾶναι φᾶναι· Πλὴν τῶν εἰς μι Πρωτοζύγων· θέτι. καὶ πλὴν τοῦ δόθι, καὶ ἵσθι.

§. ψμή. Οὕτω δὲ καὶ τὰ κατὰ μεταπλασμὸν· κλῦθι, δῦθι, καί τοι ἀπὸ τοῦ κλύε, καὶ δῦε· τὸ δὲ κέκλυθι βραχύνεται, καὶ τὸ ὄρκυθι, καὶ ἴθι.

§. ψμθ. Τάγε μὴν εἰς αναι, καὶ κναι τῶν εἰς μι, βραχυπαραληκτεῖ· ἑσάναι, ζευγνύναι· καθάπερ καὶ τὸ τιθέναι, καὶ διδόναι· Καθόλου γὰρ οἱ τῶν εἰς μι Ἀπαρέμφατοι Ἐνεργῶτες, βραχυπαραληκτοῦσι· τὸ δὲ εἶναι, ἅτε δισύλλαβον, τοῖς δισυλλάβοις τῶν ὁρίσων ἀκολουθῆσαν, μακροκαταληκταῖ.

§. ψν. Καὶ τὸ ἑσάναι δὲ, καὶ τεθνάναι, βραχυπαραληκτοῦσι, κατὰ ἀποκοπὴν ὄντες παρακείμενοι, βραχυπαραληκτεῖ δὲ καὶ τὸ φάναι, ὡς ἀπὸ τοῦ φημὶ γινόμενον, εἰς διαφορὰν τοῦ ἀπὸ τοῦ φαίνω, φᾶναι.

§. ψνά. Τὰ δὲ εἰς σαι, ἢ ξαι, ἢ ψαι, ἀπορέμφατα, καὶ τὰ εἰς ον προσακτικὰ τοῦ πρώτου τῶν ἀορίστων, ὁ χρόνῳ παραλήγοντα βραχυπαραληκτεῖ· ἑξαιρείσθω τὸ θῦσαι· καὶ θῦσον. μῦσαι, καὶ μῦσον, λῦσαι, καὶ λῦσον. κῦσαι, δῦσαι. Καὶ πλὴν τῶν ἀπὸ τῶν εἰς αω, ἢ καθαρὸν, ἢ μετὰ τοῦ ρ, ἐχόντων τὸ α· ἑᾶσαι, πεπρᾶσαι, καὶ πλὴν τοῦ πρᾶξαι.

§. ψνέ. Ἐπὶ τὰ τοῦ παθητικοῦ Παρακειμένου Ἀπαρέμφατα, διχρόνῳ παραλήγοντα, ὡς ἐπὶ τὸ πλεῖστον βραχυπαραληκτεῖ· τετύφθαι, βεβλάφθαι, μεμίχθαι, κεκλίσθαι· πλὴν τῶν ἀπὸ θέματος δισυλλάβου τῆς ἕκτης Συζυγίας, μὴ προσλαμβανόντων τὸ σ, πρὸ τοῦ μ. τοῦ παρακειμένου· οἷον, βύω, τέθυμαι, τεθῦσθαι· δύω, δέδυμαι, δεδῦσθαι· χέω, κέχυμαι, κεχῦσθαι· λύω, λέλυμαι, λελῦσθαι· φύω, πέφυμαι, πεφῦσθαι· ὅμοιον δέτοι καὶ τὸ πέπραμαι, πεπρᾶσθαι· καὶ κέκραμαι, κεκρᾶσθαι· καὶ πέπαμαι, πεπᾶσθαι· καὶ σᾶμαι, ἐσᾶσθαι· ἐξαιρείσθω καὶ τὸ πεπραγμαι, πεπρᾶχθαι· καὶ τὸ ἶγμαι, ἶφθαι· ὅθεν τὸ ἀΐγμαι, ἀΐχθαι·

Περὶ Χρόνου τῆς Μετοχῆς Κανόνες.

§. ψνγ. Καθόλου μὲν αἱ τῶν Ἐνεργητικῶν Μετοχαὶ, γένους οὖσαι ἀρσενικοῦ, μακροκαταληκτοῦσιν· ὁ τύπτων, ὁ τύψας, ὁ τυπὼν, ὁ τετυφὼς, ὁ τιθεὶς, ὁ ἑσὰς, ὁ ζευγνύς.

§. ψνδ. Ἴδιον δὲ μάλισα Μετοχῆς τὸ συμβαλλεσθαι ἐπὶ Γενικῆς, ἀπαθῆ οὖσαν· τύπτων, τύπτοντος· τετυφὼς, τετυφότος· τιθεὶς, τιθέντος· ἑσὰς, ἑσάντος· ζευγνὺς, ζευγνύντος. Καὶ τὸ τὴν αὐτὴν ἔχειν ὀνομασικήν τε, καὶ κλητικὴν, φωνῇ τε καὶ χρόνῳ καὶ τόνῳ. τουτὶ δέγε κοινὸν καὶ πρὸς τὰ μετοχικὰ Ὀνόματα· καὶ σῶν.

§. ψνέ. Τὸ δὲ μεμαῶτος, καὶ τεθνεῶτος, καὶ

βεβαῶτος, καὶ τὰ τοιαῦτα, Ποιητῶν. τὸ γὰρ πρὸ τοῦ α σύμφωνον ἐξαίροντες, καὶ συσέλλοντες τὸ παραλήγον, κλίνουσιν ἀσυζόλως· μέμηκα, μεμαῶτος· τέθνηκα, τεθνεῶτος· τὸ δὲ ἑστῶτος, κατὰ συναίρεσιν· τὸ μέντοι δέδεικα, δέδια· δεδιότος, συνεσταλμένως.

§. ψνς. Ἔτι κλινομένης τῆς τῶν Ἐνεργητικῶν Μετοχῆς γενικῶς, λήγει μὲν βραχείᾳ τὸ θηλυκὸν, παραλήγει μέντοι μακρᾷ· ὁ τύπτων, ἡ τύπτουσα· ὁ τύψας, ἡ τύψασα· ὁ τετυφὼς, ἡ τετυφυῖα· ὁ τιθεὶς, ἡ τιθεῖσα· ὁ ἱστὰς, ἡ ἱστᾶσα· ὁ σὰς, ἡ σᾶσα. ὁ ζευγνὺς, ἡ ζευγνῦσα· καὶ φὺς, φῦσα. καὶ δὺς, δῦσα. Τῶν δὲ οὐδετέρων βραχεῖα ἡ λήγουσα· τὸ ποιῆσαν, τὸ πρᾶξαν, τὸ τιθὲν, τὸ ζευγνύν.

Τόνος καὶ Χρόνος Ἄρθρου.

§. ψνζ. Ἄρθρον δὲ, τὸ μὲν ἀρσενικὸν, καὶ οὐδέτερον ἀνάγεται ἐπὶ τὰ τῶν ὀνομάτων τριτόκλιτα, κἀκεῖνοις ὁμοίως ἔχει τὸν χρόνον· ἐπὶ μὲν γὰρ εὐθείας, καὶ αἰτιατικῆς, βραχύ· ἐπὶ δὲ γενικῆς, καὶ δοτικῆς, μακρὸν· οἷς, οὗ, ᾧ, οἷν. ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως ταῖς ἐκείνων καταλήξεσι ἔχει. αἱ μέντοι γε εὐθεῖαι, καὶ αἰτιατικαὶ τῶν ἄρθρων οὐκ ὀξυτονοῦνται, ὡς τὰ ὀνόματα, ἀλλὰ βαρύνονται, ὡς αἱ προθέσεις, καὶ τινες τῶν συνδέσμων· τὸ δὲ θηλυκὸν τοῖς δευτεροκλίτοις [illegible] καὶ τὰ μὲν προτακτικὰ, ἢ πνεύματα, ἢ τόνους ἐπιδέχεται· τὰ δὲ ὑποτακτικὰ, καὶ πνεύματα,

τα, καὶ τόνους. πᾶν μὲν οὖν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνεται· τὸ δὲ τῆς κλητικῆς ὦ, οὐκ ἄρρηρον· διὸ καὶ οὐθὲν ἄτοπον, εἰ ψιλοῦται.

Χρόνος Ἀντωνυμίας.

§. ψνη. Ἀντωνυμία δὲ, ἡ μὲν πρωτότυπος ἐπὶ τοῦ πρώτου προσώπου, μακροκαταληκτεῖ· ἐπί τε Εὐθείας, καὶ Γενικῆς, καὶ Δοτικῆς· ἐπὶ δὲ Αἰτιατικῆς, βραχυκαταληκτεῖ. τῆς δὲ δευτεροπροσωπούσης τὸ υ, βραχὺ μὲν ἐπὶ τοῦ Ἑνικοῦ, σύ. μακρὸν δὲ ἐπὶ τῆς παραληγούσης τῶν πληθυντικῶν· ὑμεῖς, ὑμῶν· τῆς δὲ Δοτικῆς τοι, ἐπὶ μὲν τοῦ πρώτου, καὶ δευτέρου προσώπου, μακρόν· ἡμῖν, ὑμῖν· ἐπὶ δὲ τοῦ τρίτου τό, τε λῆγον, καὶ τὸ παραλῆγον, βραχύ, σφίσι· Τὸ δὲ τῆς Αἰτιατικῆς α, μακρὸν ἐπὶ πάντων· ἡμᾶς, ὑμᾶς, σφᾶς· Καὶ τὰ μονοσύλλαβα δὲ τοῦ τρίτου, βραχὺ ἔχουσι τὸ ι, νίν· μίν.

Τόνος καὶ Χρόνος Προθέσεως.

§. ψνθ. Πρόθεσις δὲ πᾶσα βαρύνεται, καὶ πᾶσα βραχυκαταληκτεῖ· πλὴν τῆς εἰς· δῆλον τὸ τὰς προθέσεις βαρύνεσθαι ἐκ τοῦ ἐπ' ἐμοί· εἰ γὰρ ὀξύνοιτο, μετεφέρετ' ἂν ἐπὶ τὸ ε ἡ ὀξεῖα· ὥσπερ καὶ ἐπὶ τοῦ ἐπ' ἀτὰρ ὀγδοάτην.

Τόνος καὶ Χρόνος Ἐπιρρήματος.

§. ψξ. Τὰ δ' ἐπιρρήματα, ἐπειδὴ ἀπὸ ὀνόματος

καὶ

καὶ ῥήματος, καὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν ἐστι λαβεῖν τε καὶ σχηματίσαι, καθάπερ ἐν τῷ περὶ τόπων σχηματισικῶν εἴρηται πρότερον. δῆλον, ὅτι καὶ ὁμοίως ἂν ταῖς ἀρχαῖς ἔχει τὸν τόνον, καὶ τὸν χρόνον, καὶ τὸ πνεῦμα· οἷον, τὸ δικαίως, ὡς τὸ δικαίων· καὶ τὸ πολλάκις, ὡς τὸ πολλά· Ἔνια μέντοι καὶ διαφέρειν οὐθὲν κωλύει· οἷον, ἐπὶ μὲν τοῦ τρία, καὶ τριάς, τὸ ι, βραχύ. ἐπὶ δὲ τοῦ τρὶς, μακρόν· μεταβλητικὸν γάρ ἐστιν οὐ ἡ παραγωγὴ οἷον δὴ καὶ ἐπὶ τοῦ πνεύματος· τὸ μὲν γὰρ ἅμα δασύνεται· τὸ δὲ ἄμυδις, ψιλοῦται. σῴζει μὲν οὖν ἔνια ἐπὶ τῆς αὐτῆς· οἷον, τὰ καλούμενα μεσότητος· καλῶν, καλῶς. τιμίων, τιμίως. καὶ τὰ δοτικοφανῆ, καὶ τὰ γενικοφανῆ· κοινῆς, κοινῇ. ἴσης, ἐπίσης. καὶ ὅλως τὰ καλούμενα ἂν ὁμοιονόματα. ἔτι τὰ εἰς θεν, ἄνω ἄνωθεν. ποῦ, πόθεν. παθὲν μέντοι ὀξυτόνως, διαφορᾶς χάριν τοῦ ἀορίστου, περισπᾶται δὲ καὶ ὅσα διφθόγγῳ λήγει ἐχούσῃ τὸ υ ὑποτακτικόν· εὖ, ἀγχοῦ, ὁμοῦ. πᾶσα γὰρ δίφθογγος τοιαύτη εἰς υ λήγουσα, καὶ ἀφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται· πλὴν τριῶν· ἰδού, ἰού, οὔ. ὀξυτονοῦμενον ἔχει. Ἔτι τὰ μονοσύλλαβα τῶν πευσικῶν, περισπᾶται· ποῦ; πῶς; καὶ τὰ τῷ υ λήγοντα· νῦν, γῦν, μακρὸν γὰρ τὸ νῦν ἐπιῤῥηματικῶς, βραχὺ δὲ συνδεσμικῶς· ἔθεν τὸ τοίνυν. ὀξυτόνως δὲ καὶ τὸ εἰ καὶ ναί, οἷς καὶ ἐπεκτεινομένοις τῇ θε, οἷον, εἴθε, καὶ τῇ χι· ναὶ μὰ, τονίζεται εἰς περισπωμένην ἡ ὀξεῖα· καθόλου γὰρ τῶν ἀπτώτων αἱ ἐπεκτάσεις οὐ τρέπουσι τὴν ὀξεῖ-

ᾶν τάσιν· τὸ δὲ ὄφελον προπαροξυτόνως· καὶ τὰ ἐπέκεινα δὲ, ὡς ἐκ τροχαϊκοῦ συνθετον· ἔτι τὰ εἰς α, λήγοντα, βραχυκαταληκτεῖ· πνίκα, μάλιστα· τὰ δὲ εἰς αν, μακροκαταληκτεῖ· λίαν, ἄγαν.

Τόνος καὶ Χρόνος Συνδέσμου.

§. ψξά. Τῶν δὲ Συνδέσμων, οἱ μὲν συμπλεκτικοὶ, ὀξυτονοῦνται, πλὴν τοῦ ἤτοι. ἡ μέντοιγε ὀξεῖα συνεπομένη, τρέπεται, εἰς βαρεῖαν, παροξυτονοῦνται δὲ καὶ οἱ Αἰτιολογικοί· καὶ βραχυκαταληκτοῦσι δὲ, πλὴν τοῦ ὅπως. ὀξύνονται δὲ καὶ οἱ Διαζευκτικοὶ, πλὴν τοῦ ἤτοι. Καὶ προπεριισπᾶται μὲν ὁ ἆρα ἀπορηματικῶς, παροξύνεται δὲ, συλλογισικῶς. Τὸ δὲ ἢ, Διαζευκτικὸν μὲν, ἢ Διασαφητικὸν, ψιλοῦται, καὶ ὀξύνεται· βεβαιωτικὸν δὲ, ψιλοῦται, καὶ περισπᾶται. Τοπικὸν δὲ οὖ, ἢ Ἀρθρικὸν, ἢ Ὁμοιωματικὸν, δασύνεται, καὶ περισπᾶται. καὶ ὑπογράφεται δὲ τὸ Ὁμοιωματικὸν καὶ Ἀρθρικὸν ᾗ. Καθόλου δὲ οἱ Σύνδεσμοι πάντες ψιλοῦνται, πλὴν τῶν αἰτιολογικῶν. ὀξύνονται δὲ καὶ οἱ παρακλιναπτικοὶ· ἐπαί, ἐπειδή. καὶ ἐπεκτεινόμενοι τῇ αι, ἐπὶ τῆς αὐτῆς φυλάττουσι τὴν ὀξεῖαν τάσιν· οἷον, ἐπεί περ. ὀξύτονος δὲ καὶ ὁ ἀλλά, καὶ ὁ ἀλλαμήν· εἰμὴ ἴσως τὸ ἀλλὰ, οὐκ ὀξυτονεῖσθαι, ἀλλὰ βαρύνεσθαι λέγοιτις, ὡς καί τινας τῶν ἄλλων συνδέσμων, οὐ γὰρ σῴζει τὸν τόνον μετατιθέμενον, οἷόν τι καὶ περὶ τῶν παραθέσεων εἴρηται· οἵγε μὴν ἐναντιωματικοὶ, παροξύνονται· ὅ-

μως, ἔμπης. Ἔτι τῶν συνδέσμων τὸ ληκτικὸν α, καὶ ι, βραχύ. ἀλλὰ, ἀτὰρ, ἄν, ὅτι, διότι. οὕτω μὲν οὖν περὶ τόνου, καὶ χρόνου, καὶ μὲν δὴ καὶ πλείω ἄττα ἐνθυμηθέντας προσθῆναι, εὖ ἂν ἔχοι.

Περὶ Παθῶν τῶν κατὰ Προσῳδίαν.

§. ψξβ'. Τῶν δὲ τριῶν εἰρημένων παθῶν, Ἀποστρόφου, Ὕφεν, καὶ Ὑποδιαστολῆς· ἡ μὲν ἀπόστροφος, ἀφαιρεσίς ἐστιν, ἢ φωνήεντος, τοῦτ' ἔστιν· ἢ φωνηέντων, βούλομ' ἐγώ.

§ ψξγ'. Ἀφαιρεῖται δὲ τὸ, τε α, καὶ ι, βραχέα ὄντα· ἆρα οὗτος, ἆρ' οὗτος· ἐπὶ ἡμῖν, ἐφ' ἡμῖν· καὶ τὸ ε, καὶ ο, τοῦτο ἐμὸν, τοῦτ' ἐμόν· φέρε εἰπὲ, φέρ' εἰπέ. Ποιητικῶς δὲ καὶ ἡ αι, καὶ οι· βούλομ' ἐγώ· οἶμ' ὡς ἄχθομαι. Ἀφαιρεῖται δὲ ταῦτα τελικὰ τῆς λέξεως ὄντα, καὶ τῆς ἐφ' ἑξῆς ἀπὸ φωνήεντος ἀρχομένης.

§. ψξδ'. Ἀττικῶς δὲ μένει μὲν τὸ ληκτικὸν φωνῆεν τῆς ἡγουμένης λέξεως, ἀφαιρεῖται δὲ τῆς ἑπομένης τὸ ἀρκτικὸν· οἷον, ποῦ ἐστιν, ὦ ἀγαθὲ, ὦ ἀγαθέ. τοὐμοῦ, τῷ μῷ.

§. ψξε'. Ὡσαύτως δὲ καὶ μετὰ κράσεως ἀπόστροφος γίνεται, ὧδε· καὶ ἐγὼ, κἀγώ. καὶ ἐπὶ, κἀπὶ, καὶ εἶτα, κἄτα. καὶ αὐτῷ, κἀυτῷ. τὸ ἔμπαλιν, τοὔμπαλιν. τὸ ὄνομα, τοὔνομα· καὶ ἄλλα τινά.

§. ψξς'. Ἰσέον οὖν ὡς ἑπομένης δασείας, τὴν προκειμένης ἀποστρόφου συμφωνα, ψιλὰ ὄντα, τρέπεται εἰς δασέα· οἷον, κατὰ ἡμῶν, καθ' ἡμῶν· ἐπὶ

ἐπὶ ἡμῖν, ἐφ' ἡμῖν.

Ὕφεν.

§. ψξζ'. Ἡ δὲ ὑφὲν, συναφεια δυοῖν λέξεών ἐστιν· οἷον, ὁ πωσοῦν.

§. ψξη'. Ἐχρῶντο μὲν ἄρα οἱ παλαιοὶ τῇ Ὑφὲν, ἐν συναφεια δυοῖν λέξεων· οἷον, την ἀρχὴν, το πρῶτον, Κωνσαντινού πολις· νῦν δὲ τοῦ σημείου τούτου σπανία, μᾶλλον δὲ οὐδεμία ἡ χρῆσις.

Ὑποδιαστολή.

§. ψξθ'. Ἡ δὲ ὑποδιαστολή, τὸ ἀνάπαλιν· διαίρεσις γάρ τοι δυοῖν· οἷον, ὅ,τι. τό,τε.

ΤΜΗΜΑ Β'.

Περὶ Ὀρθογραφίας.

§. ψο'. Τῆς δὲ ὀρθογραφίας τῶν τοῦ λόγου μερῶν πολλὰ μέν ἐστι λαβεῖν, ἐκ τῶν πρότερον περὶ κλίσεως καὶ σχηματισμοῦ εἰρημένων· πολλὰ δὲ καὶ ἐξ ἐτυμολογίας ληπτέον· οἷον, τοῦ ἤπειρος, τὸ μ' ὀμικρὸν, ἐκ τῆς κλίσεως, τὸ δὲ η, καὶ πει, ἐξ ἐτυμολογίας· ὅτι ἀπὸ τοῦ α, καὶ πέρας, ἄπειρος· καὶ τροπῇ τοῦ α, εἰς η, καὶ προσληψει τοῦ ι, ἤπειρος· ὥσε σκεπτέον ὅπως τὰ σύνθετα ἔχει, καὶ ὅλως τὰ παράγωγα. δεῖ γὰρ τὸν μέλλοντα τελέως ὀρθογραφεῖν, καὶ ἐτυμολογικὸν εἶναι· τὰς δὲ ἐτυμολογίας ἐκ τῶν λεξικῶν

συμ-

συμπορίζεσθαι βίβλων, καὶ συγγυμνάζεσθαι συμβαίνει, διὰ τὸ πολὺ τῆς φωνῆς σύνθετον καὶ παράγωγον, καὶ πολύτροπον. Ἰδίᾳ μέντοι καὶ ἐπιπλέον ἐκ τῶν ἐφεξῆς κανόνων, καὶ τόπων ἐξομεν τὸ ὀρθογραφεῖν. Τὰ μὲν οὖν τῶν ὀνομάτων, καὶ τῶν ῥημάτων τελικὰ φωνήεντα, ἐκ τῶν κλιτικῶν καὶ σχηματισικῶν τύπων ληπτέον· ἐπεὶ δὲ τῆς πέμπτης εἰρημένης κλίσεως τῶν περιττοσυλλάβων διάφοροι αἱ καταλήξεις, περὶ αὐτῶν δὴ τούτων ἐροῦμεν πρότερον κανόνας τινάς· εἶτα δὲ καὶ περὶ τῶν παραληκτικῶν, καὶ τῶν ἐν μέσῳ ἁπλῶς τῶν αὐτῶν ὀνομάτων τε καὶ ῥημάτων, ὡς οἷόν τε σαφῶς καὶ εὐτάκτως ἐκθησόμεθα τοὺς κανόνας.

Κανόνες Ὀρθογραφίας.

τελικὰ Πεμπτοκλίτων.

Ὅσα τῷ η.

§. ψοά'. Τὰ εἰς ηρ, τῷ η· ἀνήρ, πατήρ, πλὴν χείρ, φθείρ, εἴρ, ἰνατείρ, σαπφειρ, νὴ ει.

§. ψοβ'. Ἔτι τὰ εἰς ηξ, Δωρικὶ εἰς αξ προφερόμενα, μύρμηξ. νάρθηξ.

§. ψογ'. Ἔτι τὰ ἐκ τοῦ πλήττω· βουπλήξ.

§. ψοδ'. Ἔτι τὰ εἰς ης, ποιοῦντα τὴν γενικὴν εἰς τος, λάρης, λάρητος.

Ἔτι τὰ εἰς ην, μὴ ὄντα δικαταλήκτα, ἀλλ' οὐ πάντα· φόρκυν γάρ, καὶ μάσυν, τῷ υ.

Ὅσα

Ὅσα τῷ ι.

§. ψοέ'. Τὰ δὲ δικατάληκτα εἰς ιν, τῷ ε. δελφίν, καὶ δελφίς, ἀκτὶν, καὶ ἀκτίς. ῥίν, καὶ ῥὶς. θὶς· καὶ θίς.

§. ψοϛ'. Ἔτι τὰ εἰς ις, τῷ δ κλινόμενα, ἢ τῷ θ, ὡς ἐπιτοπλεῖσον. Πάρις, ὄρνις. εἰδὲ τῷ ντ, κλίνοιτο, τῇ ει διφθογγολαφεῖται· χαρίεις, αἰγλήεις,

§. ψοζ'. Ἔτι τὰ εἰς ιψ, ὡς ἐπιτοπλεῖσον, νίψ, λίψ, ἴψ. γύψ δὲ καὶ γρὺψ, καὶ χάλυψ, τῷ υ.

§. ψοή'. Ἔτι τὰ εἰς ι, οὐδέτερα πλὴν τοῦ ἄσυ, γόνυ πῶϋ· δόρυ· καὶ τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν· ταῦτα γὰρ τῷ υ.

Ὅσα τῷ υ.

§. ψοθ'. Εἰς υ δὲ, τά τε εἰρημένα οὐδέτερα, καὶ ὅσα τῶν ἀρσενικῶν τριγενῆ ὄντα, οὐχ ὁμόφωνον ἔχει τὸ θηλυκόν· ἡδὺς, ἡδεῖα, ἡδύ.

§. ψπ'. Ἔτι τὰ περισπώμενα· μῦς, δρῦς, σῦς.

§. ψπά'. Ἔτι τὰ εἰς υς τῶν θηλυκῶν Ὀξύτονα, ὡς ἐπιτοπλεῖσον· χλαμύς. πλὴν τῶν Πατρωνυμικῶν, καὶ Ὑποκορισικῶν· ταῦτα γὰρ τῷ ι.

§. ψπβ'. Ἔτι τὸ σάχυς, πῆχυς, ἔγχελυς, βότρυς, πέλεκυς, πρέσβυς.

§. ψπγ'. Ἔτι τὰ εἰς υξ μονοσύλλαβα· σὺξ, συγός. καὶ φρὺξ, φρυγός. πλὴν τοῦ θρὶξ. καὶ σὶξ, στιχὸς, καὶ φρὶξ, φρικὸς, τῷ ι. καὶ πρὸιξ, τῇ οι. Καὶ τὰ ὑπὲρ μίαν συλλαβὴν, ὁμοίως τῷ υ, κῆμυξ. πλὴν τοῦ

τοῦ φοίνιξ, χοίνιξ· κύλιξ, τέτιξ, πέδιξ, σάλπιγξ, μήνιξ, τῷ ι. καὶ πλὴν τῶν Δωριστὶ, εἰς αξ, καὶ τῶν ἀπὸ τοῦ πλήττω. ταῦτα γὰρ τῷ η, ὡς εἴρηται.

Ὅσα τῷ αι.

§. ψπδ'. Εἰς αι δὲ, τὰ αις λήγοντα μονογενῆ, ἢ οὐ τριγενῆ· δαὶς, σαὶς, παῖς.

§. ψπε'. Ἔτι τὰ εἰς αιξ· γύναιξ, αἴξ. πλὴν τοῦ ἓξ, καὶ τῶν ἀπὸ τοῦ τέχω· καλλίτεξ, ἐπίτεξ.

Ὅσα τῷ ο.

§. ψπς'. Εἰς ομικρὸν δὲ, τὰ εἰς ον οὐδέτερα, κρεῖττον. καὶ τὰ εἰς ος· τὸ τεῖχος, τὸ τετυφός.

Ὅσα τῷ ω.

§. ψπζ. Εἰς ω μέγα δὲ, τὰ εἰς ων ἀρσενικά τε, καὶ θηλυκά· ὁ καὶ ἡ μαίζων· καὶ τὰ εἰς ως· ὁ Ἥρως, ἡ αἰδώς· καὶ τὰ εἰς ω θηλυκά· ἡ λητώ.

§. ψπη'. Ἔτι τὰ εἰς ωρ· Νέσωρ. ὕδωρ· πλὴν τοῦ ἄορ, ἦτορ.

§. ψπθ'. Ἔτι τὰ εἰς ωψ μονοσύλλαβα· ὤψ. Πλὴν τοῦ οψ, τῆς φωνῆς· τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν, τῷ μικρῷ· κνοφ, αἰθιοψ. πλὴν τοῦ κύκλωψ, ὕδρωψ, μώλωψ, σκόλωψ, κώνωψ, κέρκωψ, καὶ τῶν ἀπὸ του ωψ· ἐλίκωψ.

Μέσα ἁπλῶς τῶν Ὀνομάτων.

Ὅσα τῷ ε.

§. ψη. Μεσοσυλλαβεῖς δὲ τῷ ε, τὰ εἰς εας, ὑπερδισύλλαβα· βορέας, Ἀνδρέας· πλὴν τοῦ Μιχαίας· ὅπερ Ἑβραϊκόν.

§. ψια'. Ἔτι τὰ εἰς εαρ οὐδέτερα· φρέαρ, κτέαρ.

§. ψιβ'. Ἔτι τὰ εἰς εδη θηλυκά· ἕδη, πέδη.

§. ψιγ'. Ἔτι τὰ εἰς εδων ὀξύτονα· σηπεδών.

§. ψιδ'. Ἔτι τὰ εἰς εζα θηλυκά· τράπεζα.

Ἔτι τὰ εἰς ελη ὑπερδισύλλαβα· νεφέλη.

§. ψιε'. Ἔτι τὰ εἰς ελλα ὑπερδισύλλαβα, βαρύτονα· δίκελλα, θύελλα, ἄελλα.

§. ψις'. Ἔτι τὰ εἰς ελος, ἢ ελιος· μέλος, ἄμπελος, θεμέλιος πλὴν τοῦ αἴλιος.

§. ψιζ'. Ἔτι τὰ εἰς εμος βαρύτονα, ὑπερδισύλλαβα ἁπλᾶ· πόλεμος, ἄνεμος.

§. ψιη'. Ἔτι τὰ εἰς εμνον· χρήδεμνον, βέλεμνον, πρέμνον.

§. ψιθ'. Ἔτι τὰ εἰς εμων· πλὴν τῶν ἀπὸ τοῦ αἷμα, ὁμαίμων· καὶ πλὴν τοῦ αἴμων, δαίμων, Λακεδαίμων.

§. ω'. Ἔτι τὰ εἰς ενη θηλυκὰ ὑπερδισύλλαβα, μονογενῆ· Ἑλένη, κλυμένη, δεξαμένη.

§. ωα'. Ἔτι τὰ εἰς ενος, ξένος, κενός· πλὴν τοῦ καινὸς, ὁ νέος· κελαινὸς, καὶ τῶν ἀπὸ τοῦ αἶνος, ἔπαινος.

§. ωβ'. Ἔτι τὰ εἰς εος ὀξύτονα· Θεός· πλὴν τοῦ Ἀχαιὸς, παλαιὸς, κραταιὸς· ἀραιὸς, σκαιὸς, γηραιός.

§. ωγ'. Ἔτι τὰ εἰ εος οὐδέτερα· δέος, χρέος.

§. ωδ. Ἔτι τὰ εἰς εος θετικά· ἐλπιδέος, δοτέος. πλὴν τοῦ εὐκταῖος.

§. ωε'. Ἔτι τὰ εἰς λέος παροξύτονα· γαλεός, διψα-

διψαλέος, ῥωμαλέος.

§. ως'. Ἔτι τὰ εἰς αρα θηλυκὰ, ἡμέρα· πλὴν τοῦ αἶρα, σφαῖρα, καὶ τῶν προπαροξυτόνων, μάκαιρα, ἰοχέαιρα, χίμαιρα, μάχαιρα, νέαιρα.

§. ωζ'. Ἔτι τὰ εἰς αρος ὀξύτονα· πανθερὸς, ἱερός. πλὴν τοῦ θαιρὸς, καὶ καιρός.

§. ωη'. Ἔτι τὰ εἰς τερος, εἴτε ὀξύτονα, εἴτε βαρύτονα· κρατερὸς, ὕστερος, ἕτερος. πλὴν τοῦ ἑταῖρος.

§. ωθ'. Ἔτι τὰ εἰς ερις θηλυκὰ νυκτερὶς, ἔρις.

§. ωι'. Ἔτι τὰ εἰς εσσα θηλυκὰ τριγενῆ, προπαροξύτονα· χαρίεσσα, τιμήεσσα.

§. ωια'. Ἔτι τὰ εἰς ασιος, καὶ ασιον, παράγωγα, ἀρκέσιος, ἀπειρέσιον· πλὴν τῶν ἀπὸ τοῦ αἴσιον, παράσιον ἐξάσιον.

§. ωιβ'. Ἔτι τὰ εἰς εσος· ἄρεσος. πλὴν τοῦ Ἤφαιστος.

§. ωιγ'. Ἔτι τὰ εἰς ετης, καὶ ετη, εἴτε ἄρσενικὰ, εἴτε θηλυκά. ἱκέτης, εὐχέτης, μελέτη, δημενέτη, πλὴν τοῦ χάιτη· καὶ τῶν ἀπὸ τοῦ αἰτῶ, ἐπαίτης.

§. ωιδ'. Ἔτι τὰ εἰς ετος ὀξύτονα· νιφετὸς, πυρετός.

§. ωιε'. Ἔτι τὰ εἰς ετιος· Δομέτιος, Ἀέτιος· πλὴν τοῦ αἴτιος, καὶ τῶν ἀπ' αὐτοῦ· ὑπαίτιος.

§. ωις'. Ἔτι τὰ εἰς αρος· νέφος· πλὴν τοῦ λαῖφος.

§. ωιζ'. Ἔτι τὰ εἰς εχος· λέχος, τέλεχος.

§. ωιη'. Ἔτι τὰ εἰς εων ὀξύτονα· κυκεών, κενεών· πλὴν τοῦ [illegible] ἐλαιών.

§. ωιθ'. Ἔτι τὰ εἰς εως· Ἀττικὰ νεὼς, Μενέλεως.

§. ωκ'.

§. ωκ'. Ἔτι τὰ ἀπὸ του γέα σύνθετα, ποιὰν γῆν σημαίνοντα· βαθύγεων, λιπαρόγεων.

§. ωκα'. Ἔτι τὰ ἐκ τοῦ ἄγχου· ἀγχέμαχος.

§. ωκβ'. Ἔτι εἰ ἐν μέσῳ λέξεως ἁπλῆς τύχοι ε, ἐπόμενον ἔχον δισύμφωνον· φαρέτρα· πλὴν τοῦ Ἤφαιστος, καὶ τῶν ἀπ' αὐτοῦ, Ἡφαιστίων.

§. ωκγ'. Ἔτι τὰ ἐκ τοῦ ἔχω· ἐχέμυθος, ἐχέγγυος. καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων· φερέοικος, ἀγεσίλαος.

§. ωκδ'. Ἔτι τὰ ἐκ τοῦ ἀρχός· ἀρχέγονος, ἀρχέδημος· καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς ος, ἢ εἰς ον.

Ὅσα τῇ αι.

§. ωκε'. Τάγε μὴν εἰς αιτερος, καὶ αιτατος, τὴν ἀπὸ τοῦ τέλους τρίτην δίφθογγον ἔχει· ἰσαίτερος, ἰσαίτατος. γεραίτερος, γεραίτατος. πλὴν τῶν κτητικῶν ἀντωνυμιῶν· ἡμέτερος, σφέτερος. ἐξαιρείσθω δὲ καὶ τὰ ἕτερος.

§. ωκς'. Ἔτι τὰ εἰς αια θηλυκὰ μονογενῆ, σημαίνοντα οὐκ ἐπιδεχόμενα, τῇ αι παραλήγει· γαῖα, νεοσσαία· πλὴν τοῦ ἀλέα, θέα, μηλέα, ἰτέα· καὶ Νεμέα πόλις.

§. ωκζ'. Ἔτι τὰ εἰς αινα· λέαινα, μύραινα. πλὴν τοῦ γέννα.

§. ωκη'. Καὶ τὰ εἰς αινις ὀξύτονα· οἷον, μαινίς.

§. ωκθ'. Ἔτι τὰ ἀπὸ τῶν εἰς [illegible] θηλυκῶν, εἰς αιος, τῇ αι μεσοσυλλαβεῖ· γαῖζα, γαζαῖος· γέννα, γεν-

γενναῖος. Ῥώμη, Ῥωμαῖος.

§. ωλ΄. Ἔτι τὰ εἰς αιος ἀρσενικὰ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα· τροχαῖος· πλὴν τοῦ νέος· καὶ πλὴν τῶν θετικῶν, καὶ ὅτι τῶν εἰς λέος.

§. ωλα΄. Ἔτι τὰ εἰς αιος προπαροξύτονα· δείλαιος. βέβαιος. πλὴν τῶν συναιρεῖσθαι δυναμένων, καὶ τῶν κτητικῶν· χρύσεος, Ἑκτόρεος.

§. ωλβ΄. Ἔτι τὰ εἰς αιον οὐδέτερα· σπήλαιον, βέβαιον· πλὴν τῶν εἰς ουν συναιρεῖσθαι δυναμένων· κυάνεον, χρύσεον.

Ὅσα τῷ η.

§. ωλγ΄. Ἦτα δὲ, τὰ εἰς ηγος, καὶ ηλος, καὶ ηρος, ὀξύτονα· χορηγὸς, ὑψηλὸς, ἀνθηρὸς, ξηρός· πλὴν τοῦ νεογιλὸς, τῷ ι, καὶ ἀλμυρὸς, ἰσχυρὸς, βδελυρὸς, γλαφυρὸς, βλοσυρὸς, ἐχυρὸς, καὶ ὀχυρὸς τῷ υ· τὸ δὲ καυσειρὸς Δωρικόν.

§. ωλδ΄. Ἔτι τὰ εἰς ηδων· σαρπηδὼν, ἀηδὼν. πλὴν τοῦ χελιδὼν, καὶ μυρμιδὼν, τῷ ι. καὶ Ποσειδὼν, τῇ ει.

§. ωλε΄. Ἔτι τὰ εἰς ηθρα, καὶ ητρα θηλυκά· οὐρήθρα, ὀρθυγομήτρα.

§. ωλς΄. Ἔτι τὰ εἰς ηκοντα παρωνύμως ἀπὸ τῶν ἀριθμῶν· πεντήκοντα, ἑξήκοντα.

§. ωλζ΄. Ἔτι τὰ εἰς ηλιος, καὶ ηλιον, ἁπλᾶ· γαμήλιος, Κορυνήλιος, χειμήλιον, θαργήλιον· πλὴν τοῦ φίλιον, καὶ Ἀπέλλης. Καὶ Βομβήλιον δὲ, καὶ Ἴλιον αἱ πόλεις, τῷ ι· καὶ βομβύλιον τὸ ζωύφιον, τῷ υ· καὶ πλὴν

πλὴν τῶν εἰς υλλιον ὑποκοριστικῶν τῷ υ· μειρακύλλιον.

§. ωλη΄. Ἔτι τὰ εἰς ημων· νοημων· πλὴν τοῦ ἀμύμων, καὶ τῶν ἀπὸ τοῦ εἶμαι, λευχείμων· καὶ λειμῶν δὲ, καὶ χειμῶν, τῇ ι· καὶ ῥυμῶν τῷ υ.

§. ωλθ΄. Ἔτι τὰ εἰς ηνος, καὶ ηθος, οὐδέτερα· σμῆνος, ἦθος, σῆθος.

§. ωμ΄. Ἔτι τὰ εἰς ηνος ὀξύτονα, τόπου καὶ ἔθνους σημαντικά· Κυζικηνὸς, Ἀγαρηνός· πλὴν τοῦ Ἀτραμυτινὸς, καὶ Μελιτινὸς, καὶ Πεδινὸς, τῷ ι. καὶ Πικηνὸς δὲ, καὶ Γαληνὸς τῷ η.

§. ωμα΄. Ἔτι τὰ εἰς ηπολος· μυσιπόλος, μαντιπόλος δὲ, καὶ νυκτιπόλος μόνα τῷ ι.

§. ωμβ΄. Ἔτι τὰ εἰς ηρης· πλήρης, ξιφήρης· πλὴν τοῦ ἴρις, καὶ ὅσοις τῷ ι. καὶ θήμυρις, ἄγυρις, ἀφ' οὗ καὶ ὁμήγυρις, πανήγυρις τῷ υ.

§. ωμγ΄. Ἔτι τὰ εἰς ηριον οὐδέτερα. ποτήριον, τεκμήριον.

§. ωμδ΄. Ἔτι τὰ εἰς ηρως σύνθετα ἐκ τοῦ γῆρας· πέργηρως, βαθύγηρως, καλόγηρως.

§. ωμε΄. Ἔτι τὰ εἰς ητρον ῥηματικὰ ὑπερδισύλλαβα· θελγήτρον, φόβητρον.

§. ωμς΄. Ὡς ἁπλῶς οὖν εἰπεῖν, τὰ ῥηματικὰ τὸ τοῦ ἰδίου ῥήματος φυλάττει ἀντίστοιχον. Καὶ ὅλως τὸ παραλῆγον αὐτὸ σῴζει τῆς ἰδίας ἀρχῆς· γέγραμμαι, γραμμή. εἴλημμαι, λῆμμα. λέλησαι, λύσις. λέλεξαι, λέξις. πεποίηται ποιητόν· ἠλέξηται, ἀλεξητήριον.

§. ωμζ΄.

§. ωμζ'. Ἔτι τὰ εἰς ηφορος· Νικηφόρος, ξιφηφόρος.

Ὅσα τῷ ι.

§. ωμη'. Ἰῶτα δὲ, τὰ εἰς ια ὀξύτονα, καὶ παροξύτονα θηλυκά· λαλιὰ, καρδία. πλὴν τοῦ παρειὰ, ζειὰ, φορβειά, ὑγεία, σιτοδεία ὀλιγοδεία, χρεία, μνεία, λεία, τῇ ει. καὶ μία, ὀργυιὰ, μητριὰ, ἀγυιὰ, τῇ υι. καὶ τροία, πτοία, ῥοιὰ, χροιὰ, τῇ οι. καὶ σκυία, καρύα, πιτύα. τῷ υ. καὶ πλὴν τῶν ἀπὸ τῶν εἰς ευω ῥημάτων· πρεσβεία, τῇ ει.

§. ωμθ'. Ἔτι τὰ εἰς ιας ὀξύτονα θηλυκά. μυριάς. πλὴν τοῦ γενειάς, καὶ πελειὰς τῇ ει.

§. ων'. Ἔτι τὰ εἰς ιας ἀρσενικὰ βαρύτονα, ὑπερδισύλλαβα· ἐτησίας, ταμίας· πλὴν τοῦ Αἰνείας, Ἑρμείας, Αὐγείας καὶ Παρείας, τῇ ει· καὶ Περσύας, τῷ υ.

§. ωνα'. Ἔτι τὰ εἰς ιαλος ὑπερτρισύλλαβα· αἰγιαλὸς, ἠπίαλος.

§. ωνβ'. Ἔτι τὰ εἰς ιαμος· φωριαμὸς, Πρίαμος. πλὴν τοῦ κύαμος.

§. ωνγ'. Ἔτι τὰ εἰς ιανη, καὶ ιανος κύρια· Τατιανὴ, Δαμιανὸς, Λουκιανός.

§. ωνδ'. Ἔτι τὰ εἰς ιδης τῶν Πατρωνυμικῶν ἀπαθῆ. Πριαμίδης, Πηλείδης. οὕτω δὲ καὶ ἀδελφιδοῦς, καὶ θυγατριδοῦς, καὶ τὰ τοιαῦτα.

§. ωνε'. Καὶ μὴ Πατρωνυμικὰ δὲ ὄντα εἰς ιδης, τῷ ι. Εὐριπίδης, Θουκυδίδης. πλὴν τῶν ἀπὸ τοῦ

εἴδος, καὶ μῆδος· Ἀριστείδης, Παλαμήδης.

§. ωνς'. Ἔτι τὰ ἀπὸ τῶν εἰς α, καὶ εἰς π, καὶ εἰς ος ὑποκοριστικὰ εἰς ιδιον· μοῖρα, μοιρίδιον. κλίνη, κλινίδιον· νῆσος, νησίδιον. πλὴν τοῦ γῆ, γήδιον· καὶ ὅλως τῶν ἀπὸ τῶν εἰς η περισπωμένων, ἢ ὀξυτονουμένων· οἷον, πηγήδιον, κριθήδιον. τὸ δὲ γραφείδιον, ἐκ τοῦ γραφεῖον· τὸ δὲ λεξείδιον, κατὰ συναίρεσιν ἀπὸ τοῦ λέξις, λέξεως, λεξεϊδιον, λεξείδιον. οὕτω καὶ σασείδιον, καὶ ταξείδιον.

§. ωνζ'. Ἔτι τὰ εἰς ιευς· ἁλιεύς, ἑρετιεύς· πλὴν τῶν ἀπὸ πρωτοτύπων διφθογγογράφων· οἷον, ῥοϊτειον, ῥοϊτειεύς. σίγειον, σιγειεύς.

§. ωνη'. Ἔτι τὰ εἰς ιης ὀξύτονα· ὑγιής· πλὴν ἀπὸ τοῦ φύω, εὐφυὴς, διφυής· τὰ δὲ βαρύτονα παράγωγα εἰς ιης, τὴν γραφὴν τῶν ἀφ' ὧν παράγεται φυλάττει· χάρις, χαρίεις· τιμὴ τιμήεις.

§. ωνθ'. Ἔτι τὰ εἰς κος, καὶ εἰς κον Κτητικά· πλὴν τοῦ εὐβοεικὸς, δεκελεικὸς, δαρεικὸς, τῇ ει. καὶ θηλυκὸν, λιβυκὸν, τῷ υ.

§. ωξ'. Ἔτι τὰ εἰς ιλευς· βασιλεύς, Ἀχιλλεύς. πλὴν τοῦ Πηλεύς, καὶ Νηλεὺς τῷ η.

§. ωξα'. Ἔτι τὰ εἰς ιλος παροξύτονα· ποικίλος, ναυτίλος.

§. ωξβ'. Ἔτι τὰ εἰς ιμος παροξύτονα· ὠφέλιμος· πλὴν τοῦ ἔρημος, καὶ τῶν ἀπὸ τοῦ σχῆμα, καὶ σῆμα, καὶ θυμὸς, καὶ ὕμνος, καὶ φήμη συγκειμένων· πολύσχημος, ἐπίσημος, ῥαθύμος, πάνσημος, πολύφημος,

τῶ η. καὶ πλὴν τοῦ δίδυμος, νήδυμος, σκόλυμος, ἔ-τυμος. καὶ τῶν ἀπὸ τοῦ ὄνομα συγκειμέ-ων, ὁμώνυ-μος τῷ υ· καὶ πλὴν τοῦ ἕτοιμος τῇ οι.

§. ωξγ'. Ἔτι τὰ εἰς ινα θηλυκὰ ὑπερδισύλλα-βα βα-ρύτονα· Αἰκατερινα· πλὴν τοῦ ἅμυνα, κόρυνα, τῷ υ, καὶ δέσποινα τῇ οι.

§. ωξδ'. Ἔτι τὰ εἰς ινη, τὰ μὲν ἀπὸ τῶν εἰς ος, ἢ εἰς ης, τῷ ι· Ἄδρασος, Ἀδρασίνη· Αἰήτης, Αἰητίνη. τὰ δὲ ῥηματικά, ὡς τὸ ῥῆμα. κλίνω γὰρ, κλίνη· καὶ εὐθύνω, εὐθύνη· τἄλλα δὲ τῷ η, εἰρήνη, σελήνη· δίνη δὲ καὶ ἀξίνη τῷ ι· καὶ κορύνη, ὀδύνη, τορύνη τῷ υ.

§. ωξε'. Ἔτι τὰ εἰς ινης ἀρσενικὰ, τῷ ι, Αἰτχίνης.

§. ωξς'. Ἔτι τὰ εἰς ινθος ὑπερδισύλλαβα· κορινθος, ὑακινθος.

§. ωξζ'. Ἔτι τὰ εἰς ινος ὀξύτονα, καιροῦ τε καὶ ὥ-ρας σημαντικά· θερινός, χειμερινός, ἡμερινός. ἄλλως δέ τοι παρώνυμα, τῇ ει· ἐλεεινός, φωτεινός· τὸ δὲ ἀ-ληθινός, τῷ ι.

§. ωξη'. Καὶ τὰ βαρύτονα δὲ εἰς ινος, ὁμοίως τῷ ι· σπῖνος, ἐχῖνος, ξύλινος· πλὴν τοῦ λάγυνος, λοφυνος, εὐφρόσυνος τῷ υ.

§. ωξθ'. Ἔτι τὰ εἰς ινον οὐδέτερα μονογενῆ· σέλινον, κύμινον. πλὴν τοῦ σίγυνον, τῷ υ· καὶ σκοτεινόν, κάρηνον, τῷ η.

§. ωο'. Ἔτι τὰ εἰς ιος ὀξύτονα· Ἀσκληπιός. πλὴν τοῦ Ἀφυεῖος. Φοῖνιξ· καὶ κολοιὸς τῇ οι· τὸ δὲ εἶδος, καὶ αἶξηξ, ἐκ παυσυ τῷ η.

§. ωοά'.

§. ωοά'. Ἔτι τὰ εἰς ιον, καὶ ιος βαρύτονα, ὑπερ-δισυλλαβα· βιβλίον, γραμμάτιον, ἄξιος· πλὴν τῶν κτητικῶν, καὶ περιεκτικῶν, καὶ μετουσιαστικῶν· οἰκεῖ-ον, ἀγγεῖον, χρύσειον· ἐξαιρείσθω καὶ τὰ ἀπὸ τῶν τῷ εος κλινομένων· Ἡράκλειος τῇ ει· καὶ τὸ δίκτυον, δάκρυον, κάρυον, κρόμμυον, ἔμπυον, κρήγυον, τῷ υ. καὶ πλεῖον τῇ οι.

§. ωοβ'. Ἔτι τὰ ἀπὸ τόπων λεγόμενα εἰς ιος· οὐ-ράνιος, θαλάσσιος, χθόνιος, Σάμιος, Αἰγύπτιος, Κύ-πριος.

§. ωογ'. Ἔτι τὰ εἰς ιπος βαρύτονα, ὑπερδισύλλα-βα, ἁπλᾶ· ἄγριπος, εὔριπος.

§. ωοδ'. Ἔτι τὰ εἰς ισκος ὑποκοριστικά. οἰκίσκος, ἀσπερίσκος.

§. ωοε'. Ἔτι τὰ εἰς ισσα θηλυκὰ ὑπερδισύλλαβα· βαρισσα, σάρισσα. πλὴν τῶν ἀπὸ πρωτοτύπων τὸ υ· ἢ τὰ η ἐχόντων· οἷον, λίβυς, λίβυσσα· μά-γυης, μάγυησσα.

§. ωος'. Ἔτι τὰ εἰς σος, καὶ εἰς σθος, ἁπλᾶ, ὑπερ-δισυλλαβα, ὀξύτονα καὶ βαρύτονα, τῷ ι· οἶσος, βέλ-τισσος, ὄλισθος· πλὴν τῶν ῥηματικῶν· οἷον, ἄνυσος.

§. ωοζ'. Καὶ τὰ εἰς σμος δὲ ὀξύτονα, ὡσαύτως· ὀργίζομαι, λογισμός, προπηλακίζω, προπηλακισμός τῷ ι. δανείζω δὲ δανεισμός, τῇ ει. καὶ κέχρησμαι, χρησμός τῷ η.

§. ωοη'. Καὶ τὰ εἰς ιτος δὲ, εἴτε ὀξύτονα, εἴτε βα-ρύτονα, τὴν γραφὴν τῶν ἀφ' ὧν παράγεται φυλάττει.

προ-

προσίεται, πρισιτός· Ἀφροδίτη, ἐπαφρόδιτος, τῷ ι. ἠρίθμηται, ἀριθμητός· ἐσύγηται, συγητός· τῷ η· κέκλειται, κλειτός, τῇ α.

§. ωοθ'. Ἔτι τὰ εἰς ιτης πολίτης· πλὴν τῶν ἀπὸ τῶν εἰς ω περισπωμένων, καὶ τῶν ἀπὸ τῶν τῷ η ληγόντων, ἢ κλινομένων θηλυκῶν· κυβερνῶ γάρ, κυβερνήτης· καὶ σφενδόνη, σφενδονίτης, τῷ η· πλὴν τοῦ τεχνίτης, καὶ φυλακίτης, τῷ ι· καὶ ἔτι πλὴν τῶν ἀπὸ τῶν εἰς ον ἀρσενικῶν, ἢ θηλυκῶν· ὁδὸς γάρ, ὁδοίτης. καὶ ὄρος, ὀροίτης, τῇ οι· καὶ ἔτι πλὴν τῶν ἀπὸ τῶν τῷ εος κλινομένων, καὶ τῶν ἀπὸ τοῦ ῥέω· οἷον, ὄρος, ὄρεος, ὀρείτης· καὶ ῥέω, βαθυῤῥείτης. ἐξαιρείσθω καὶ τὰ ἀπὸ τῶν εἰς εια προπαροξυτόνων. Σαμάρεια, Σαμαρείτης τῇ ει.

§. ωπ. Ὡς γάρ τοι καθόλου εἰπεῖν, τὰ εἰς ιτης παράγωγα τὴν τῆς ἰδίας ἀρχῆς φυλάττει γραφήν. οἷον, Αἴγινα, Αἰγινήτης. πρέσβυς, πρεσβύτης. κεκυβέρνηται, κυβερνήτης. τέθυται, θύτης· τοιοῦτο δέ τι καὶ τὸ ὁδοίτης, καὶ ὀροίτης· ἀπὸ γὰρ τοῦ ὁδὸς, καὶ ὄρος ἡ τῆς διφθόγγου ἀρχή. θράνος μέν τοι θρανίτης. καὶ ζυγὸς, ζυγίτης τῷ ι· ὅθεν καὶ ὁδὸς, ὁδίτης μάλισα τῷ ω.

§. ωπά. Ἔτι τὰ εἰς ιτη θηλυκὰ μονογενῆ ὑπερδισύλλαβα· Ἀφροδίτη, Ἀμφιτρίτη.

§. ωπβ. Ἔτι τὰ εἰς ιφη θηλυκὰ μονογενῆ ὑπερδισύλλαβα· ἀγρίφη· πλὴν τοῦ ἀκαλήφη τῷ η· καὶ κολύφη, κορυφὴ τῷ υ.

§. ωπγ. Ἔτι εἰς ιχος ὑπερδισύλλαβα ἁπλᾶ· δολιχὸς, μείλιχος, ταρίχος· πλὴν τοῦ ἥσυχος.

§. ωπδ. Ἔτι τὰ εἰς ων συγκριτικὰ, ὑπερδισύλλαβα· βελτίων· πλὴν τοῦ ἀρείων, χερείων τῇ ει.

§. ωπε. Καὶ ὅλως τὰ εἰς ων ὑπερδισύλλαβα, βαρύτονα μὲν ὄντα τῷ ι παραλήγει· Ἰξίων, Ἡφαιστίων· πλὴν τοῦ Ἀμφιτρύων, ἠλεκτρύων· ὀξύτονα δὲ, τῷ υ. ἀλκυών, ἀλεκτρυών. ἐξαιρείσθω τὰ τῶν μηνῶν ὀνόματα· Γαμηλιών, Θαργηλιών.

§. ωπς. Ἔτι τὰ ἀπὸ τοῦ αρι, καὶ ερι, σύνθετα, τῷ ι· ἀργίνοος, ἐρίδοξος.

§. ωπζ. Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων συγκείμενα· οἴδω, οἰδίπους.

§. ωπή. Καὶ τὸ ο δὲ τοῦ ὄψος ἐν συνθέσει τῶν ἀπὸ συμφώνων ἀρχομένων, τρέπεται εἰς ι· ὄψισος, ὑψίκερως.

§. ωπθ. Ἔτι τὰ ἐκ τοῦ ἁλός· ἁλίπλοον.

Ἔτι τὰ ἐκ τοῦ ἀγχοῦ· ἀγχίνοια, ἀγχιστεύς.

Ἔτι τὰ ἐκ τοῦ καλέω· Καλλίνικος.

§. ωϙ. Ὡς ἁπλῶς οὖν εἰπεῖν, ὧν ἡ ἀρχὴ σχηματιζικὸ εἰς ος, τοῦτο κατὰ μεταβολὴν τοῦ ο, εἰς ι, ὀρθογραφεῖται.

§. ωϙα. Οὕτω δὴ καὶ τὰ ἀπὸ τοῦ ἀρχός· Ἀρχίδαμος· πλὴν τοῦ ἀρχηγὸς, ἀρχηγέτης, ἐκ τοῦ ἄγω συγκειμένων· καθόλου γὰρ τὰ ἐκ τοῦ ἄγω, τῷ η, ἀρατηγὸς ὁδηγός.

§. ωϙβ. Ἔτι τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ τ, ἢ τὸ δ, διὰ τοῦ ι ἔχει τὴν πρώτην ὡς ἐπὶ τὸ πλεῖστον· ἴρις, ἴσις,

δριμὺς, βριθὺς, πίτυς.

Ὅσα τῇ ει.

§. ωιγ'. Τῇ ει δὲ, τὰ ἀπὸ τῶν εἰς ευω ῥημάτων εἰς εια θηλυκά. πρεσβεύω, πρεσβεία· πλὴν τῶν ἐχόντων ὀξύτονον εἰς μων· ἡγεμὼν, ἡγεμονία. καὶ πλὴν τοῦ φιλανθρωπία, προεδρία, προσεδρία, ἐμπορία, συμβουλία, παρθενία, ἀσωτία.

§. ωιδ'. Ἔτι τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν θηλυκὰ εἰς εια. ὀξὺς, ὀξεῖα. ἡδὺς, ἡδεῖα.

§. ωιε'. Ἔτι τὰ ἀπὸ ενεςώτων εἰς εια προπαροξύτονα· ἀπόλλω, ἀπωλεια· μήδω, μήδεια· θέρω, θέρεια· σαφῶ, σάφεια.

§. ωιϛ'. Ἔτι τὰ εἰς εια ἐπὶ πόλεων προπαροξύτονα, ὧν ἀρσενικὰ εἰς ευς· Ἀλεξανδρεὺς, Ἀλεξάνδρεια· Ἀντιοχεὺς, Ἀντιόχεια.

§. ωιζ'. Ἔτι τὰ ἀπὸ τῶν εἰς ευς εἰς εια. βασιλεὺς βασίλεια· ἱερεὺς, ἱέρεια.

§. ωιη'. Ἔτι τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν εἰς εια, προπαροξύτονα· ἀσθενὴς, ἀσθένεια· εὐγενὴς, εὐγένεια· Ἴωνες δὲ καὶ ταῦτα παροξυτόνως προφέροντες ἰωταγραφοῦσιν· ἀσθενία, εὐγενία.

§. ωιθ'. Ὡς δ' ἁπλῶς εἰπεῖν, τὰ μὲν παροξύτονα εἰς εια θηλυκὰ, τῷ ι γράφεται· πλὴν τῶν ἀπὸ τῶν εἰς ευω, καὶ τῶν ἀπὸ τῶν εἰς υς· τὰ δὲ προπαροξύτονα, διφθόγγῳ, ε ῥημικῇ· τὰ εἰς μνια καὶ τρια τῷ ε γράφεται· πολύμνια, ψαλτρια· καὶ πλὴν τοῦ πότνια, λάμια.

§. Θ'.

§. Θ'. Ἔτι τὰ ἀπὸ τοῦ γέα εἰς εως, ἐπίγειος.

§. Θα'. Ἔτι τὰ εἰς εως κτητικὰ, ἀπὸ τῶν εἰς λος προπαροξυτόνων γινόμενα· αἴθαλος, αἰθάλειος· αἴολος, αἰόλειος· εἰδὲ ἀπὸ ὀξυτόνων, ἢ παροξυτόνων γίνεται τῷ ι· ὀμφαλὸς, ὀμφάλιος· αἰμύλος, αἰμύλιος.

§. Θβ'. Ἔτι τὰ ἀπὸ τῶν εἰ τος κλινομένων κτητικά· Αἴαντος, Αἰάντειος· γέροντος, γερόντειος.

§. Θγ'. Ἔτι τὰ εἰς εως κτητικὰ, ἀπὸ κυρίων, εἴτ' ἐπ' ἀνθρώπων, εἴτ' ἐπὶ ποταμῶν λεγομένων γινόμενα· οἷον, Αἰσωπειος, Τρυφώνειος, Ὠκεάνειος, Ἰορδάνειος· ἐξαιρεῖται τὸ Ποσειδώνιος· καὶ ὅσα κύρια. οἷον, Ἀμμώνιος, Ἀπολλώνιος.

§. Θδ'. Ἔτι τὰ εἰς εως κτητικὰ ἀπὸ ζώων Ὀνομάτων, εἴτε λογικῶν, εἴτε ἀλόγων γινόμενα· οἷον, ἀνθρώπειος, κύκνειος, ἵππειος, λεόντειος. Λεόντιος δὲ τὸ κύριον, τῷ ι.

§. Θε'. Ἔτι τὰ εἰς ιος κτητικὰ ἀπὸ Γενικῆς καθαρᾶς, παραληγούσης τὸ ε, γινόμενα· οἷον, Ἡρακλέους, Ἡράκλειος· Βασιλέως, βασίλειος, βορέου, βόρειος· τέλεος, τέλειος· Εὐγένιος δὲ, καὶ Ἐπιφάνιος, ὡς κύρια, τῷ ι.

§. Θϛ'. Ἔτι τὰ εἰς εως μετουσιαστικὰ· χρύσειος, σιδήρειος.

§. Θζ'. Ἔτι τὰ ἀπὸ τῶν εἰς ευω ῥημάτων εἰς ειος ἐπιτηδεύω, ἐπιτήδειος. βασιλεύω, [illegible]

§. Θή'. Ἔτι τὰ εἰς ειρα θηλυκὰ ἀπὸ τῶν εἰς ηρ ἀρ

σε-

σενικῶν προπαροξύτονα· διϊάνειρα, πίειρα, σώτειρα.

§. ϑή. Ἔτι τὰ εἰς ρος προπαροξύτονα, ῥηματικὰ πέπτω, πέπειρος. αἴθω, αἴγειρος. μάττω, μάγειρος. ὄνω, ὄνειρος.

§. ϑί. Ἔτι τὰ ἐκ τοῦ ἀεὶ συγκείμενα· ἀείμνηστος· πλὴν τοῦ ἀΐδιος, καὶ ἀϊδίλον τῷ ι. καὶ ὅλως ἐφ' ὧν τὸ δ ἑπόμενον· τὸ δὲ ἀοίδιμος, ἐκ τοῦ ἀείδω, τῇ οι.

Ὅσα τῇ οι.

§. ϑιά. Τὰ δὲ ἀπὸ τῶν εἰς ους εἰς οια θηλυκὰ τῇ οι μεσοσυλλαβεῖ· νοῦς, εὔνοια. πλοῦς, εὔπλοια. βοῦς, εὔβοια.

§. ϑιβ. Γράφεται δὲ τῇ οι καὶ τὰ ἀπὸ τῶν εἰς ος παράγωγα εἰς οιος, προπερισπώμενα· ἄλλος, ἀλλοῖος. παντὸς, παντοῖος. γέλος, γελοῖος. ὁμὸς, ὁμοῖος. ἕτερος, ἑτερεῖος. πλὴν τῶν ἐκ συναιρέσεως τὸ ι ἐχόντων· χῖος, τῖος, κῖος. καὶ πλὴν τῶν κτητικῶν, ἢ ὡσπερ κτητικῶν· οἰκεῖος, θεῖος, ἀνδρεῖος· τῇ ει γάρ.

§. ϑιγ. Ἔτι τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν καὶ θηλυκῶν παράγωγα εἰς ιτης, ὡς εἴρηται. ὁδὸς, ὁδοίτης. ὄρος, ὀροίτης. ἐγγὺς δὲ τούτων καὶ τὸ δεσπότης, δέσποινα· καὶ πόνος, ποινή. καὶ φόνος δαφοινός.

Ὅσα τῷ υ.

§. ϑιδ. Τῷ δὲ υ, τὰ εἰς υζα θηλυκὰ ἁπλᾶ, ὑπερδισύλλαβα· θαυκυδίζα, κόνυζα, ὄρυζα.

§. ϑιε. Ἔτι τὰ εἰς υη· ἀφύη, ἰγνύη, οἰσύη, καπύη.

§. ϑις.

§. ϑις. Ἔτι τὰ εἰς υλη θηλυκὰ, μονογενῆ· κοτύλη, γογγύλη, ἀρβίλη, ἀργίλη· ἀπειλὴ δὲ, καὶ ὠτειλὴ, τῇ ει.

§. ϑιζ. Ἔτι τὰ εἰς υλλα θηλυκὰ, κύρια μὲν ὄντα, τῷ υ· Σιβύλλα, Πρίσκυλλα· μὴ κύρια δὲ, τῷ ι· Σκύλλα δὲ, καὶ ψύλλα τῷ υ.

§. ϑιή. Ἔτι τὰ εἰς υλος παροξύτονα ὑπερδισύλλαβα· σωμύλος, στρογγύλος, καμπύλος· πλὴν τοῦ ποικίλος, ναυτίλος, τρωΐλος.

§. ϑιθ. Ἔτι τὰ εἰς υμος ὀξύτονα· ῥυμὸς, θυμὸς. λοιμὸς δὲ ἡ νόσος, τῇ οι· καὶ λιμὸς ἡ πεῖνα, καὶ σιμὸς, καὶ φιμὸς, τῷ ι. καὶ κνημὸς τῷ η.

§. ϑι. Τῶν δὲ εἰς υρα, τὰ μὲν ἁπλᾶ, παροξύτονα τῷ υ μαλίσα· λύρα, σφύρα, πορφύρα, σισύρα, πλημμύρα· μοῖρα γεμὼν τῇ οι, καὶ πεῖρα τῇ ει. καὶ κήρα καὶ χήρα τῷ η. καὶ κίρρα, τῷ ι, καὶ προπαροξύτονα δὲ, καὶ σύνθετα. τῷ υ· γέφυρα, κέρκυρα· πλὴν τῶν ἀπὸ τῶν εἰς ηρ ἀρσενικῶν, περὶ ὧν δὴ καὶ εἴρηται.

§. ϑια. Ἔτι τὰ εἰς υρις ὀξύτονα, ὡς ἐπὶ τὸ πολύ· θυρὶς, πλημμυρὶς, ξιφυρίς.

§. ϑιβ. Ἔτι τὰ εἰς ρος, καὶ εἰς βος, καὶ εἰς κος, καὶ εἰς λος, ἁπλᾶ, προπαροξύτονα· ἄργυρος, κόρυμβος, κάνδυλος, κόρυκος· ἐξαιρείσθω τὰ εἰρημένα ῥηματικά· μάγειρος, πέπειρος· καὶ τὸ σαπφειρος, κύπειρος, ἤπειρος τῇ ει. καὶ σίδηρος, κάμηλος, κάπηλος, βέβηλος τῷ η. καὶ ὅμιλος, Κύπελλος τῷ

§. ϑιγ. Ἔτι τὰ εἰς ιτος ὑπερδισύλλαβα, μονογε-

νῆ·

νή· κοκυτὸς. βηρυτός. πλὴν τοῦ ὑμηττὸς, καὶ μίλητος τῷ η. καὶ τῶν ἀπὸ τοῦ παθητικοῦ παρακειμένου· οἷον, τὸ ἀμητός. τὸ δὲ Ἡράκλειτος, πολύκλειτος, τῇ ει ὡς ἀπὸ τοῦ κλέος. καὶ τὰ λοιπὰ δὲ τὰ εἰς ιτος, τὴν γραφὴν τῶν ἀφ' ὧν παράγεται φυλάττει· ὡς εἴρηται.

§. Θδ'. Ἔτι τὰ εἰς υφιον ὑποκορισικὰ, καὶ ὅλως τὰ εἰς ιον παραλήγοντα τῷ ι, τῷ υ μεσοσυλλαβεῖ· ζωύφιον, μερακύλλιον. λογύδριον· πλὴν τῶν εἰρημένων εἰς ιδιον.

Ὅσα τῷ ο.

§. Θε'. Τὰ εἰς οεις ὀνόματα παρὰ τὴν ποιήσει, εἰ μὲν ἡ πρὸ τοῦ ο συλλαβὴ βραχεῖα, τῷ ο μικρὸν γράφεται· οἷον, σκιόεις, ἠερόεις, ἀνεμόεις· εἰ δὲ μακρὰ τῷ ω μεγάλῳ· κητώεις, ὠτώεις.

§. Θς'. Ἔτι τῷ ο μικρῷ, τὰ εἰς οκη θηλυκὰ ὑπερδισύλλαβα· ἰσοδόκη. πλὴν τοῦ ἀκωκὴ, ἰωκὴ, σεώκη.

§. Θζ'. Ἔτι τὰ εἰς οκος, καὶ οχος. δωροδόκος, ξενοδοχος, Ἀντίοχος.

§. Θκή'. Ἔτι τὰ εἰς οπη θηλυκὰ μονογενῆ· Ἰόπη, Καλλιόπη. πλὴν τοῦ Εὐρώπη. σινώπη, κερκώπη, ἀγρώπη, σιωπὴ, περιωπή.

§. Θλθ'. Ἔτι τὰ εἰς οπος ἐσχηματισμένα, ὀξύτονα· μαζροπος. πλὴν τῶν ἀπὸ τοῦ ὠψ ὑγκειμένων· χαρώπος.

§. Θμ'. Ἔτι τὰ εἰς οπτρον· κάτοπτρον, ἔσοπτρον, ῥόπτρον.

§. Θλά.

§. Θλά. Καθόλου δὲ τὸ ο μεσοσυλλαβοῦν, δυοῖν ἑπομένων συμφώνων ἐν ἁπλῇ λέξει, μικρογραφεῖται.

§. Θλβ'. Ἔτι τὰ εἰς ορας ἀρσενικά· Πυθαγόρας, Πρωταγόρας. πλὴν τοῦ γκώρας.

§. Θλγ'. Ἔτι τὰ εἰς ορια θηλυκά· ἀπορία, ἐξορία. πλὴν τῶν ἀπὸ τοῦ ὄρος, καὶ ὥρα συνθέτων· οἷον, ἀκρώρεια, ὑπώρια, εὐθυωρία, διωρία.

§. Θλδ'. Ἔτι τὰ εἰς ορος βαρύτονα, ἁπλᾶ, ὑπερδισυλλαβα· βόρβορος, γρήγορος, λοίδορος, πλὴν τοῦ ἄμωρος.

§. Θλέ. Ἔτι τὰ εἰς οσος ὑπερδισύλλαβα· διάμοσος, μολοσσὸς, κολοσσός.

§. Θλς'. Ἔτι τὰ εἰς οσος, πολλοσὸς, ἑκατοσός.

§. Θλζ'. Ἔτι τὰ εἰς οτης θηλυκὰ, ἀπὸ τῶν εἰς ος ἀρσενικῶν παραγόμενα, φίλος, φιλότης, ὅσιος, ὁσιότης.

§. Θλη'. Ἔτι τὰ εἰς οφος μονογενῆ· ζόφος, λάφος.

§. Θλθ'. Ἔτι τὰ εἰς οχη· μολόχη, ἐποχή· πλὴν τοῦ ἀνακωχή.

§. Θμ'. Ἔτι τὰ ἐκ τῶν εἰς ος, ἢ εἰς ον, σύνθετα· δῆμος, Δημόκριτος· δῶρον, δωροδόκος,

§. Θμά'. Ἔτι τὰ ἐκ τῶν εἰς ω ῥημάτων συγκείμενα· πλῶ, χιλόθεος· μισῶ, μισότεκνος.

Ὅσα τῷ ω.

§. Θμβ'. Τὰ δὲ εἰς ωγος ὀξύτονα, τὸ μέσον ἔχει μεσοσυλλαβούμενον· ἀγωγὸς, δημ[illegible]

§. Θμγ'.

§. Δμγ'. Ἔτι τὰ εἰς ωδης, καὶ ωδες· εὐώδης, εὐῶδες· πετρώδης, πετρῶδες.

§. Δμδ'. Ἔτι τὰ εἰς ωλος ὀξύτονα· φειδωλός, αἰτωλός· πλὴν τοῦ ὀβολός, καὶ θολός· καὶ βαρύτονα δ' ὄντα, ὁμοίως· ἕωλος, Μαύσωλος· πλὴν τοῦ αἴολος, καὶ τῶν ἀπὸ τοῦ βάλλω· ἑκατόμβολος, διώβολος.

§. Δμε'. Ἔτι τὰ εἰς μα τῶν οὐδετέρων ῥηματικά· δῶμα, χῶμα, χρῶμα· πλὴν τῶν ἀπὸ τῶν εἰς μι δόμα, πόμα.

§. Δμς'. Ἔτι τὰ εἰς ωμη θηλυκὰ, ὑπερδισύλλαβα, βαρύτονα. Ἰθώμη, Σαλώμη.

§. Δμζ'. Ἤτι τὰ εἰς ωμος δισύλλαβα· ὦμος, ὠμὸς, βωμὸς, ψωμος· πλὴν τῶν ῥηματικῶν, τόμος, δρόμος.

§. Δμη'. Ἔτι τὰ εἰς ωνα ὑπερδισύλλαβα, βαρύτονα· Ματρῶνα, Μαργαρῶνα.

§. Δμθ'. Ἔτι τὰ εἰς ωναξ· ἱππώναξ, χειρώναξ.

§. Δν'. Ἔτι τὰ εἰς ωνας· Κλεωνᾶς, Θεωνᾶς.

§. Δνα'. Ἔτι τὰ εἰς ωνη θηλυκα, μὴ ὄντα κύρια, μηδὲ ὀξύτονα· δωδώνη, κορώνη, ῥαιώνη· πλὴν του περόνη, βελόνη, ἀγχόνη, σφενδόνη, ἀκόνη, σθόνη, εὐφρόνη· τὰ δὲ κύρια τῷ μικρῷ· Σωφρόνη, Σωλομόνη· τὰ δὲ ὀξύτονα, ῥηματικὰ μὲν ὄντα, τῷ μεγάλῳ· φωφωνή· πλὴν του ᾠδὴ, ᾠδονή· εἰδὲ κατὰ τροπὴν του τῷ ομικρῷ· οἷον, μένω, μονή. Παρώνυμα δ' ὄντα τῷ ομικρῷ· καλλονή, χαρμονή.

§. Δνβ'. Ἔτι τὰ εἰς ωνης ἀρσενικὰ, εἰμὴ καθαρὸν τὸ ω· τελώνης, ἔρχώνης. εἰδὲ καθαρὸν, τῷ μικρῷ·

Πλὴν

Πλὴ του Διώνης.

§. Δνγ'. Ἔτι τὰ εἰς ωνια θηλυκὰ μονογενῆ· ῥοδωνιὰ, σκαμμωνία, χερώνια· πλὴν τῶν ἀπὸ πρωτοτύπου παραληγοντος τῷ μικρῷ· οἷον, εὐτονία, Μακεδονία.

§. Δνδ'. Ἔτι τὰ εἰς ωνιος· Ἀμμώνιος, Ἀντώνιος, παιώνιος, ἢ φαρμακία· πλὴν του παιώνιος, ὁ στρατός· καὶ τῶν ἀπὸ Γενικῆς παραληγούσης τῷ ο· οἷου, μακεδόνιος· Καὶ κηλώνιον δὲ ὁ ἵππος, τῷ μεγάλῳ· κηλόνιον δὲ τὸ γεράνιον, τῷ μικρῷ.

§. Δνε'. Ἔτι τὰ εἰς ωνος ὀξύτονα· Τιθωνός.

§. Δνς'. Ἔτι τὰ ἐκ του ὤψ, ὠπός· ἐνώπιον, μετώπιον.

§. Δνζ'. Ἔτι τὰ εἰς ωρα θηλυκὰ, βαρύτονα· πρώρα, ὥρα, χώρα, ψώρα.

§. Δνη'. Ἔτι τὰ εἰς ωρος ὀξύτονα, ὑπερδισύλλαβα τιμωρός.

§. Δνθ'. Ἔτι τὰ εἰς ωσης· χρεώσης, ἀγρώσης· καὶ ἄγρωσις ὁμοίως.

§. Δξ'. Τὰ δὲ εἰς ωσυνη θηλυκὰ, εἰμὲν βραχεῖαν ἔχουσι τὴν πρὸ του ω, συλλαβὴν, τῷ μεγάλῳ· ἁγιωσύνη, ἱερωσύνη· εἰ δὲ μακράν, τῷ μικρῷ· σωφροσύνη, δικαιοσύνη.

§. Δξα'. Καὶ τὰ εἰς ωτερος δὲ συγκριτικὰ, καὶ ωτατος ὑπερθετικὰ, εἰμὲν ἔχουσι τὴν πρὸ του ω συλλαβὴν βραχεῖαν, τῷ μεγάλῳ· λογιώτερος, λογιώτατος· εἰ δὲ μακράν, τῷ μικρῷ· ἐνδοξότερος, ἐνδοξότατος.

§. Δξϛ'.

§. Ξβ'. Ἔτι τὰ εἰς ωτης ἀρσενικὰ βαρύτονα, εἰ μὲν καθαρὸν ἔχει τὸ ω, τῷ μεγάλῳ παραλήγει· ἀγροιώτης, ἀπηλιώτης· εἰ δὲ μὴ καθαρὸν, τῷ μικρῷ· τοξότης, δημότης, ἀγρότης, πλὴν τοῦ ἠπειρώτης, θυρωτής, ἀγρώστης, δεσμώτης, μονώτης, εὐρώτης, ἑλλώτης, ἀσκλαβώτης. καὶ ἄμπωτις δὲ τῷ μεγάλῳ· ἐξισωτὴς, πληρωτής.

§. Ξδ'. Ἔτι τὰ εἰς ωτος· λωτὸς, μασθωτὸς· πλὴν τῶν ἀπὸ τῶν εἰς ος· οἷον, νεοτὸς· καὶ εἰμὴ ῥήματος κλίσις κωλύοι· ὡς ἐπὶ τοῦ ἀρότος.

§. Ξε'. Τὰ δὲ εἰς ωος· κτητικὰ μὲν ὄντα, τῇ φ διφθόγγῳ· ἡρῷος· ἕτερα δὲ τῷ μεγάλῳ, καὶ ταῦτα μονοφθόγγως· γελῶος.

§. Ξς'. Ἔτι εἰμὲν τὸ ι ἀρκτικὸν, τὸ δὲ ὀμέσως μετ' αὐτὸ ω, μεγαλογραφεῖται· πλὴν τοῦ Ἰόνιον, καὶ τῶν ἐκ τοῦ ἰὸς, καὶ ἰὸν συνθέτων· οἷον, ἰολέως, ἰοχέαιρα, ἰοβόλη.

§. Ξζ'. Ἔτι τὰ ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὰ αὐτὸ σύμφωνον, τῷ ω παραλήγει· οἷον, ἀγωγὴ, ἐδωδὴ, ἀκωκή.

§. Ξη'. Ἔτι τὰ κατὰ πρόσληψιν συλλαβῆς ἀπὸ ῥημάτων γινόμενα, μεγαλογραφεῖται· ζῶ, ζωή. φῶ, φωνή· ἄδω, Ἄδωνις· πλὴν τοῦ ᾆδω, ᾠδή.

§. Ξθ'. Ἔτι τὰ ἐκ τοῦ ὀβολὸς, σύνθετα· τριώβολον.

§. Ο'. Ἔτι τὰ ἐκ τοῦ ὁμαλὸς· ἀνωμαλία.

§. Οα'. Ἔτι τὰ ἐκ τοῦ ὀδύνη· ἐπώδυνον, ἀνώδυνον.

§. Οβ'. Ἔτι τὰ ἐκ τοῦ ὀφθαλμὸς· ἐπώφθαλμον.

§. Ογ'.

§. Ογ'. Ἔτι τὰ ἐκ τοῦ ὄφελος· ὠφελῶ, ἀνωφελής.

§. Οδ'. Ἔτι τὰ ἐκ τοῦ ὄνομα· ἀνώνυμον, ὁμώνυμον.

§. Οε'. Ἔτι τὰ ἐκ τοῦ ὄνυξ· πολυώνυξ, ἐξώνυξ.

§. Ος'. Ἔτι τὰ ἐκ τοῦ χρέος· χρεωφειλέτης, χρεώστης· πλὴν τοῦ χρεοκόπος, καὶ χρεολύτης.

§. Οζ'. Ἔτι τὰ ἐκ τοῦ σοὰ σύνθετα, καὶ ἄλλως παράγωγα, ἐξώσοον, πρώσοον, σωϊκὸν.

§. Οη'. Ἔτι τὰ ἐκ τοῦ σόμα, ἁπλᾶ παράγωγα· σωμύλος.

§. Οθ'. Ἔτι τὰ ἐκ τοῦ ὁλῶ· ἐξώλης, προώλης, ἀπώλεια.

§. Π'. Ἔτι τὰ ἐκ τοῦ ὁμῶ· ἀπώμοτον, ὀρκώμοτον.

§. Πα'. Ἔτι τὰ ἐκ τοῦ γῆρας, ἑνὸς ἑπομένου συμφώνου τῇ ρω συλλαβῇ· γηρωχόμος, γηρωβοσκός. δύο δ' ἑπομένων, οὗ· γηροκτόνος, γηροτρόφος.

§. Πβ'. Ἔτι τὰ ἐκ τοῦ ὄροφος, εἰ ἔχει τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν· διώροφον, τριώροφον· εἰ δὲ μακρὰν, οὗ· χρυσόροφον, ὑψόροφον, πεντόροφον.

§. Πγ'. Ὥσπερ ἄρα καὶ τὰ ἐκ τοῦ ὄλεθρος· ἀνώλεθρος μὲν γὰρ, καὶ ἐπώλεθρος, τῷ μεγάλῳ· ψυχολέθρος δὲ, καὶ ἀνθρωπόλεθρος, τῷ μικρῷ.

§. Πδ'. Καὶ τὰ ἐκ τοῦ ὀρύττω δὲ, συντάττοιτ' ἂν τοῖς εἰρημένοις οἰκείως· τυμβορύκτης μὲν γὰρ, καὶ φρεορύκτης, καὶ τειχορύκτης, τῷ μικρῷ· ὡς θέσει τοῦ υ ἐκτεινομένου· τυμβωρύχος δὲ, καὶ φρεωρύχος, τῷ μεγάλῳ, ὡς μὴ ἐκτεινομένου τοῦ υ

Ῥη.

Ῥημάτων Παραληκτικά· Ἐνεστῶτος Ὁριστικοῦ.

Ὅσα τῷ ε.

§. ϡτέ. Παραλήγει δὲ, τὰ μὲν εἰς εω, τῷ ε συναιρεῖσθαι δυνάμενα· ποιέω· τὰ δὲ μὴ δυνάμενα, τῇ αι· παλαίω· Πλὴν τοῦ ξέω.

§. ϡπ. Ἔτι τὰ εἰς εω καθαρὰ περισπώμενα· σφρεῶ· πλὴν τοῦ παλαιῶ, κραταιῶ, περαιῶ· καὶ ὅλως τὰ ἀπὸ ὀνομάτων διφθογγογραφουμένων· οἷον, βέβαιον. βεβαιῶ· ἑδραῖον, ἑδραιῶ· γαῖα, γαιῶ.

§. ϡπζ. Ἔτι τὰ εἰς εζω· πιέζω· πλὴν παίζω.

§. ϡπή. Ἔτι τὰ εἰς εθω βαρύτονα φλεγέθω.

§. ϡτθ. Ἔτι τὰ εἰς ελω· θέλω, ὠφελῶ.

§. ϡή. Ἔτι τὰ εἰς επω· δρέπω, βλέπω.

§. ϡηά. Ἔτι τὰ εἰς εσσω· πυρέσσω.

§. ϡηβ. Ἔτι τὰ εἰς εχω· ἔχω, τρέχω.

Ὅσα τῇ αι.

§. ϡηγ. Τὰ δὲ εἰς αινω, τῇ αι· ὑφαίνω. τεκταίνω· πλὴν τοῦ μένω, καὶ ξένω, καὶ ὅλως τῶν ἐχόντων ἀντιπαρακείμενον ὄνομα ἐκ τοῦ ο· οἷον, σθένω· ὅτι σθένος· καὶ πένω, ὅτι πόνος.

§. ϡηδ. Ἔτι τὰ εἰς αιρω· χαίρω, αἴρω, σπαίρω· πλὴν τοῦ φέρω· καὶ ὅλως τῶν ἐχόντων ἀντιπαρακείμενον ὄνομα ἐκ τοῦ ο· καὶ δέρω τοίνυν, ὅτι δορά· καὶ πείρω, ὅτι πόρος.

Ὅσα

Ὅσα τῷ η.

§. ϡηε. Τὰ δὲ εἰς ηγω τῷ η· θήγω· πλὴν τοῦ σιγῶ, σφριγῶ, ῥιγῶ, πνίγω, μίγω, καὶ θίγω, τὸ ψαύω, τῷ ι. καὶ ἐπείγω τῇ ει· καὶ ἀνοίγω, τῇ οι· καὶ συγῶ, τῷ υ.

§. ϡηϛ. Ἔτι τὰ εἰς ηθω· πλὴν τοῦ ῥίθω, τῷ ι· καὶ πείθω τῇ ει· καὶ πύθω τῷ υ.

§. ϡιζ. Ἔτι τὰ εἰς ηκω· ἥκω· πλὴν τοῦ ἵκω, ἀφ' οὗ τὸ ἱκόμην, τῷ ι, καὶ εἴκω, καὶ δείκω τὸ δεικνύω, τῇ ει· καὶ ἐρύκω, τῷ υ.

§. ϡιή. Ἔτι τὰ εἰς ηπω· σήπω· πλὴν τοῦ λείπω, καὶ ἐρείπω, τῇ ει· καὶ λυπῶ τῷ υ.

Ὅσα τῇ ει.

§. ϡιθ. Τὰ δὲ εἰς ειω ἐφετικὰ, τῇ ει· γελασείω, πολεμησείω.

§. ϡκ. Ἔτι τὰ εἰς ειδω, ἐρείδω· πλὴν τοῦ ἥδω, μηδω κήδω. πηδῶ, φιλῶ, τῷ η· καὶ οἰδῶ τῇ οι.

§. ϡκά. Ἔτι ὅσα ἐπὶ τοῦ μέλλοντος ἔχει τὸ ε, καὶ ἐπὶ τοῦ ἐνεστῶτος ἔχει· κερῶ, κείρω, κτενῶ, κτείνω, τῇ ει.

§. ϡκβ. Ἔτι ὅσα κινούμενα παρέχει τὸ ο, τὸ ε, προείχεν· ἀμοιβὴ, ἀμείβω· μοῖρα, μείρω· κουρὰ, κείρω.

§. ϡκγ. Τὰ δὲ εἰς αινω ὑπερτρισύλλαβα, εἰμὲν πρὸ τοῦ ει φωνὴν ἠγῆται, τῇ ει παραλήγει· ἐρεείνω, φαείνω, πλὴν τῶν ἀπὸ τῶν εἰς υς καθαρὰ, οἷον, πραΰνω· εἰ δὲ σύμφωνον ἠγῆται, τῷ υ· ἀμύνω, ἀρύνω.

πλὴν

πλὴν τοῦ ὁρίνω, καὶ ὠδίνω, τῷ ι.

Ὅσα τῷ ι.

§. ρδ'. Τὰ δὲ εἰς ιζω, τῷ ι. πλὴν του δανείζω, τῇ ει· καὶ χρήζω, τῷ η· καὶ πλὴν τοῦ ἐρπύζω, ποππύζω, ὀλολύζω, ἐρύζω, τρύζω, λύζω, κλύζω, γογγύζω, ἰύζω, τῷ υ· καὶ ἀθροίζω, τῇ οι.

§. ρε'. Ἔτι τὰ εἰς ισκω· εὑρίσκω· πλὴν τοῦ μιμνήσκω, θνήσκω, κικλήσκω· τῷ η· καὶ μεθύσκομαι, τῷ υ.

Ὅσα τῷ υ.

§. ρς'. Τῷ υ δὲ, τὰ εἰς υνω ὑπερδισύλλαβα μετὰ συμφώνου ὡς εἴρηται (§. ραγ'.)

§. ρζ. Καὶ ἔτι τὰ εἰς υρω βαρύτονα· πορφύρω, μορμύρω, πλὴν τοῦ φθείρω, πείρω, τείρω, εἴρω, ἀγείρω, οἰκτείρω, ἐγείρω, τῇ ει· καὶ φύρω, τῷ υ.

Ὅσα τῷ ω.

§. ρη'. Τὰ δὲ εἰς ωγω, τῷ μεγάλῳ· τρώγω, ἀνώγω, πλὴν τῶν ἀπὸ πρωτοτύπου τὸ ο μικρὸν ἐχόντων· οἷον, μόγος, μογῶ.

§. ρθ. Ἔτι τὰ εἰς ωζω· σώζω, πλὴν τοῦ ἁρμοδεσπόζω, ὄζω.

§. ρι. Ἔτι τὰ εἰς ωθω· κλώθω· εἰμὴ ἀπὸ πρωτοτύπου [illegible] ο· οἷον, πόθος, ποθῶ· καὶ πλὴν τοῦ ἄθω· ἄθομαι τὸ ἐπισρέφομαι.

§. ριά.

§. ριβ'. Ἔτι τὰ εἰς ωσσω, καὶ ωσκω· πλὴν τοῦ ὄσσω, καὶ βόσκω.

§. ριβ'. Ἔτι ὅσα τῶν βαρυτόνων τῷ ε παραλήγει, καὶ ὄνομα παράγει μικρογραφούμενον· ταῦτα ποιητικῶς μεταποιούμενα εἰς τὴν δευτέραν τῶν περισπωμένων, τὸ μέγα μεταλαμβάνει· νέμω, νόμος, νωμῶ· τρέπω, τρόπος, τρωπῶ· σρέφω, σροφὴ, σρωφῶ.

Περὶ Ἐπιρρημάτων. Ὀρθογραφίας. Κανονες.

§. ριγ'. Τῶν δὲ Ἐπιρρημάτων, τὰ μὲν εἰς ε, ἢ εἰς ες, τῷ ε λήγει. πλὴν τοῦ πάλαι, βαβαὶ, παππαὶ, ναὶ. ἀτταταῖ.

§. ριδ'. Τὰ δὲ εἰς ην, τῷ η· πρώην, χύδην, συλλήβδην· πλὴν τοῦ πρὶν, πάλιν, κατόπιν, τῷ ι· καὶ νῦν τῷ υ.

§. ριε'. Τὰ δὲ εἰς ις, τῷ ι· δὶς, τρὶς, πολλάκις, ἅλις. πλὴν τοῦ ἑξῆς, ἐξαίφνης, ἐξεπίτης, ἐπίσης τῷ η.

§. ριϛ'. Τὰ δὲ ἐτχατοτονούμενα εἰς ει, εἰ μὲν καθαρὸν τὸ ει ἢ μετὰ τοῦ θ, ἢ λ, ἢ μ, ἢ ξ, ἢ χ, ἢ ψ, τῇ ει· αὐτοβοεὶ, ἀμοχθεὶ, ἀσυλεὶ, πανδημεὶ, αὐτολεξεὶ, ἀμαχεὶ· αὐτοψαὶ· εἰ δὲ μετ' ἄλλου του συμφώνου, τῷ αι· πανοικὶ· πλὴν του ἀθαμβεὶ, ἀκηρυκτεὶ, ἀνοικτεὶ, ἀσπουδεὶ, κανθοινεὶ, ἐκεῖ, τῇ ει. καὶ ἁμαρτῇ, παγγενῇ, εἰκῇ, ἀκαρῇ, μηδαμῇ, τῷ η. καὶ οἴκοι, ἐνταυθοῖ, τῇ οι· καὶ ὅλως τῶν ὁμοιονομούμενων ὀνομασθέντων· κοινῇ, κομιδῇ.

§. ριζ.

§. αιζ. Τὸ δὲ δευρὶ, κατ' ἐπέκτασιν ἔχει τὸ ι· ὡδὶ καὶ τὸ ὠδί, καὶ νυνί. τὰ δὲ ἔχοντα οὕτως ἰωταγραφεῖται.

§. αιή. Τριχῶς δὲ ἡ ἐπέκτασις, ἢ γὰρ τῷ μόνῳ, ἢ καὶ μετὰ τοῦ φ, ἢ τοῦ χ· οἷον, ναίχι, βίηφι.

§. αιθ. Ἔτι τὰ τῷ θ συλλαβιζόμενα θαρυτόνως, τῷ ι λήγει· αὐτόθι, ἄλλοθι.

§. αι. Τὰ δὲ εἰς ου τῷ μικρῷ· ἀγεληδόν, ποταμηδόν· πλὴν τοῦ ἐμποδών, τελευτών.

§. αια. Τὰ δὲ εἰς ως τῷ μεγάλῳ· πλὴν τοῦ πάρος, τήμος, ἦμος, ἔναχος, ἐντός, καὶ ἐκτός.

§. αιβ. Καὶ τὰ εἰς ω τῷ μεγάλῳ ἄνω, κάτω· πλὴν τοῦ ἄπο, δεῦρο.

§. αιγ. Ἔστι δὲ καὶ εἰς υ λήγοντα· πέρυσι, γρῦ.

§. αιδ. Παραλήγουσαν δὲ ὁμοίως τοῖς ἀφ' ὧν παράγεται, ἔχει τὰ πολλά· δικαίων, δικαίως. ἄνω, ἄνωθεν. εἶκος, οἴκοθεν. ἀμὸς, ἀμόθεν, καὶ οὐδαμόθεν. πλὴν τοῦ ἑτέρωθεν, καὶ ἀμφοτέρωθεν καὶ ἑκατέρωθεν, διὰ τὰ πολλὰ ἐφεξῆς βραχέα· τὸ δὲ ἀπωτέρω, καὶ ἀπωτάτω, τοῖς εἰς ωτερος, καὶ ωτατος τῶν ὀνομάτων ἀκολουθεῖ.

§. αιε. Τὰ γε μὴν θετικὰ, τῷ ε· ἀναγνωστέον, πλευστέον· πλὴν τοῦ εὐκταῖον.

§. αιϛ. Τὰ δὲ εἰς ικα, καὶ ιον, τῷ ι· πηνίκα, ὁπηνίκα, ἔγγιον, πλησίον.

Κοινοὶ τοποι Ὀρθογραφικοὶ τῶν τοῦ λόγου μερῶν.

§. αιζ. Κοινοὶ δ' Ὀνομάτων, καὶ Ῥημάτων, καὶ

καὶ ὅλως τῶν τοῦ λόγου μερῶν Τόποι εἰσθωσαν Ὀρθογραφικοὶ κατὰ στοιχεῖον τοιοῦτοι· ἀρκτικῶν περὶ, καὶ μέσων ἐκ δευτέρου, ἁπλῶν ἁπαθῶν· ἂν μὴ πάνυ τι ἀνὰ τὰ περὶ μέσων ἁπλῶς εἰρημένα.

§. αιή. Ἀρχὴ τοῦ Α.

Η Α, ἐν ἀρχῇ λέξεως, μονοφθόγγως· πλὴν τοῦ Ἅδης, ᾄδω, ἀεί, διφθογγογραφουμένων τῇ α.

Τῆς δὲ α μέσον, τὸ ε· ἀετός, Ἄρτεμις· πλὴν τοῦ ἀραιὸς, ἀκραιφνὴς, ἀσπαίρω, ἀχαιός.

Καὶ τὸ η, ἐν βδη, καὶ θλη, Ἄβδηρα, ἀβληχρόν.

Ἔτι ἐν δη, καὶ θη· ἀδημονῶ, Ἀθηνᾶ.

Ἔτι ἐν θρη· ἀθρόνη· πλὴν τοῦ ἀθριβὴς τῷ ι· καὶ ἀθροίζω τῇ οι.

Ἔτι ἐνιλη· ἀλήτης· πλὴν τοῦ ἀλαίφω τῇ αι· καὶ ἀλύω, ἀλύσσω, τῷ υ· καὶ ἀλωὺς, τῷ ε.

Ἔτι ἐν πη, καὶ σκλη, καὶ τη, καὶ χθη· ἀπηνὴς, Ἀσκληπιὸς, Ἀτήλως, ἀχθηδών.

Ἐν δὲ ἑρι τὸ ι· ἀβρικές· πλὴν τοῦ ἀβρύνω, τῷ υ.

Ἔτι ἐν γι· ἅγιον· πλὴν τοῦ Ἀγήνωρ τῷ η· καὶ ἀγυιὰ τῇ υ· καὶ ἀγύρτης, ἄργυρος τῷ υ· καὶ ἀγαίρω τῇ αι.

Ἔτι ἐν γρι, ἄγριον· πλὴν τοῦ ἀγρείφην τῇ αι· καὶ ἀγροίκη, ἀγροιώτης, τῇ οι.

Ἔτι ἐν δρι· ἀνδρία· πλὴν τοῦ ἀδρύνω τῷ υ· καὶ ἀνδρεῖος τῇ αι.

Ἔτι ἐν κι· ἀκιδνόν· πλὴν τοῦ ἄγκυρα, ἀγκύλον, ἄκυλον, ἀλκυών, τῷ υ· καὶ ἄλκησις τῷ η.

Ἔτι ἐν κρι· ἀκριβὴς.
Ἔτι ἐν νι· ἀνία· πλὴν τοῦ ἀνύω, τῷ υ.
Ἔτι ἐν ξι, καὶ ρι· ἄξιος, ἀριθμός· πλὴν τοῦ ἀρήγω, τῷ η. καὶ ἀρύομαι, τῷ υ.
Ἔτι ἐν σι, καὶ τι· ἀσιώπητος, ἀτιτάλλω.
Ἔτι ἐν φι, ἄλφιτα· πλὴν τοῦ ἀλφειὸς τῇ ει· καὶ ἀλφησὶς τῷ η· καὶ ἀφύη, ἄφυσσω τῷ υ.
Ἔτι ἐν χι· Ἀχιλλεύς· πλὴν τοῦ ἄχυρα τῷ υ.
Ἔτι ἐν ψι· ἀψίνης· πλὴν τοῦ ἄψυρος τῷ υ.
Ἐν δὲ βυ, τὸ υ· ἄβυδος· πλὴν τοῦ ἀβίγας τῷ ι· καὶ Ἄρβηλα τῷ η.
Ἔτι ἐν γυ· ἀγρυλλίς.
Ἔτι ἐν μυ· ἀμύνω· πλὴν τοῦ ἀμείβω τῇ ει· καὶ ἀμητὸς τῷ η· καὶ ἅμιλλα τῷ ι.
Ἐν δὲ βρο. τὸ μικρόν· ἀβρότονον.
Ἔτι ἐν κο· ἀκόνη· πλὴν τοῦ ἀκωκή.
Ἔτι ἐν χρο· ἀκροατής· πλὴν τοῦ ἀκρωτήριον.
Ἔτι ἐν λο· ἀλοῶ· πλὴν τοῦ ἀλωὴ, ἀλώπηξ.
Ἔτι ἐν μο· ἁρμόττω· πλὴν τοῦ ἀμώριον.
Ἔτι ἐν ρο· ἄροτρον· πλὴν τοῦ ἅρωμα.
Ἔτι ἐν σφο, καὶ φρο· ἀσφοδελὸς, Ἀφροδίτη.
Ἐν δὲ βω, καὶ βλω, τὸ μέγα· ἀβώρα, ἀβλώσκω.
Ἔτι ἐν γω· ἀγωγή· πλὴν τοῦ ἀγορά, ἀγοσός.
Ἔτι ἐν γρω· ἀγρωνεύς· πλὴν τοῦ ἀγρὸς.
Ἔτι ἐν δω, καὶ θρω· Ἄδωνις, ἄνθρωπος.
Ἔτι ἐν σω, σιω, καὶ σχω· ἄμπωτις, ἀσώτως, ἀσχολιάζειν.

§. αχθ.

§. αχϑ. Ἀρχὴ τοῦ Β.

Τῆς δὲ βα μέσον, ἐν κη, καὶ κτη, τὸ η· βάκηλος, βακτηρία· ἐν δὲ δι, καὶ σι, τὸ ι· βαδίζω, βασιλεύς.
Ἔτι ἐν βι, ἡγουμένου τοῦ ρ, βάρβιτον· Ἄλλως δὲ, τὸ υ· Βαβυλὼν, βαβυλίδης εἰμὴ Πατρωνυμικόν.
Ἐν δὲ γω, τὸ μέγα· βαγώνας.
Ἡ βε, πρὸ μὲν τοῦ ϵ, καὶ λ, καὶ ρ, τῷ ε· βέβαιον, βέλος, βέρεθρον· μέσον τὸ ε, καὶ η, καὶ ο· βέλεμνον, βέβηλον, βελόνη· πλὴν τοῦ βέβαιον· πρὸ δὲ τοῦ ο καὶ τ, τῇ αι, βαῖον, βαίτη.
Ἡ βδε, τῷ ε· βδέλλα, βδελυρός.
Ἡ βλε, πρὸ μὲν τοῦ π, τῷ ε· βλέπω· πρὸ δὲ τοῦ σ, τῇ αι· βλαισός.
Ἡ βρε, τῷ ε· βρέγμα· μέσον ἐν θυ, τὸ υ· βρενθύομαι· ἐν τη, τῷ η· βρεντήσιον.
Ἡ βη, πρὸ μὲν τοῦ λ, καὶ μ, καὶ ρ, καὶ τ, τῷ η· βηλὸς, βῆμα, βηρυτὸς, βῆττω· μέσον τῷ ι· βηρίνη πλὴν τοῦ βηρυτὸς· πρὸ δὲ τοῦ α· καὶ ο, καὶ κ, καὶ ν, τῷ ι· βία, βίος, βίκος, βινεῖν· πλὴν τοῦ βύας τῷ υ· μέσον τὸ αι, καὶ ο· βίαιον, βιοτὴ· πλὴν τοῦ βώσιμον.
Πρὸ δὲ τοῦ ω, καὶ ϑ, καὶ δισυμφώνου, πλὴν τοῦ σσ, τῷ υ· βυθὸς, βύβλος, βύζειν, βύσσος· πλὴν τοῦ βιθυνὸς, καὶ βίβλος τῷ ι· καὶ βῆσσα τῷ η· καὶ βοιωτὴ· τῇ οι, μέσον τῷ ι· βύβλινον· καὶ τὸ υ, τῷ ζ, ἢ ϑ ὑποτασσόμενον, βίζυη, βιθυνία.
Ἡ βδυ, τῷ υ· βδύλλειν.

Η'.

Η βλυ, πρὸ μὲν τοῦ ζ, τῷ υ· βλύζειν· πρὸ δὲ τοῦ τ, τῷ ι· βλίτον· πρὸ δὲ τοῦ χ, τῷ η· βλήχη· μέσον τὸ μέγα, βληχωνία.

Η βρι, πρὸ μὲν τοῦ θ, καὶ μ, τῷ ι· βρίθω, βριμῶμαι· πρὸ δὲ φωνήεντος, καὶ κ, καὶ τ, καὶ χ, τῷ υ, βρύειν, βρύκειν, βρύττειν, βρύχειν.

Η βρ πρὸ μὲν φωνήεντος, καὶ σ, καὶ δισυμφώνου, τῷ μικρῷ· βοή, βόσις, βότρυς· μέσον τὸ ε· βορέας· καὶ τὸ μέγα καθαρὸν ὂν, βοώτης· εἰδὲ μὴ, τὸ μικρὸν, βόρβορος.

Η βλω, τῷ μεγάλῳ· βλωθρός· πλὴν τοῦ βλοσυρός, οὗ μέσον, τὸ υ.

Η βρω, πρὸ τοῦ μ, καὶ σ, τῷ μεγάλῳ· βρωμᾶσθαι, βρῶσις. πλὴν τοῦ βρόμος ὁ τοῦ πυρὸς ἦχος· πρὸ δὲ τοῦ τ, ἢ συμφώνου, τῷ μικρῷ βροτὸς, βροντή.

§. αλ'. Ἀρχὴ τοῦ Γ.

Τῆς δὲ γα μέσον, τὸ ε, καὶ ι· γαγεώτης, γαλιψός· πλὴν τοῦ γαμήλια, Γαληνός.

Η γε· τὸ ε· πλὴν τοῦ γαῖα, καὶ γαίω τὸ γαυρίω· μέσον τὸ ε· γενεά· πλὴν τοῦ γενναῖον· καὶ τὸ μέγα· γεώργος· τῆς δὲ αι, τὸ μικρόν· γαιοδότης.

Η γραι, τῇ αι· Γραικός.

Η γη, μόνη τῷ η· γῆ· καὶ ἔτι πρὸ τοῦ ρ, ἠρ· γῆθω, γῆρας· πλὴν τοῦ γύρος τῷ υ.

Πρὸ δὲ τοῦ [illegible] καὶ ν, τῷ ι· γίγας, γίνεσθαι· πλὴν τοῦ γείνω τῇ ει, καὶ γυνὴ τῷ υ· μέσον τὸ υ· γιγλυσμὸς,

μὸς, καὶ τὸ μέγα· γινώσκω.

Η πρὸ δὲ φωνήεντος· καὶ λ, καὶ μ, καὶ π, τῷ υ· γύης, γύλινις, γυμνὸς, γύπαιον· πλὴν τοῦ γῆινος, τῷ η· καὶ γῦα τῇ υ· μέσον ἐν μνη, τὸ η· γυμνήτης.

Η γρυ, μόνη, τῷ υ· πρὸ δὲ τοῦ γ, τῷ η· Γρηγόριος· μέσον τὸ μικρόν· Πρὸ δὲ τοῦ π, τῷ υ· γρυπός, πρὸ δὲ τοῦ φ, τῷ ι· γρίφος.

Η γο, τῷ μικρῷ· πλὴν τοῦ γωνία, γωρυτὸς, γωρτύνη· μέσον τὸ υ.

Η γλω, καὶ γνω, τῷ μεγάλῳ· πλὴν τοῦ γνόφος.

§. αλά. Ἀρχὴ τοῦ Δ.

Τῆς δα, μέσον ἐν κτη, καὶ κρυ, τὸ υ· δάκτυλος, δάκρυον· τὰ δ' ἄλλα τὸ ι· δαψιλὴς, Δαμιανός· εἰ μή τι κωλύει· καὶ τὸ μικρόν· Δάμοσος.

Η δε, τὸ ε· πλὴν τοῦ δαίειν, ὅθεν τὸ δαίμων· καὶ δαίδαλος, καὶ δαὶς, καὶ δαιτός· μέσον τὸ ε· δέλεαρ· πλὴν τοῦ δέρειον. καὶ τὸ ι· δεξιά· πλὴν τοῦ δαιτυμὼν, καὶ δερμύλῳ, τῷ υ.

Η δη μόνη, συνδεσμικῶς μὲν τῷ η· δή· ῥηματικῶς δὲ τῇ ει, δεῖ.

Ἔτι πρὸ τοῦ ρ, τῇ ει· πλὴν τοῦ δῆρις, καὶ δηρόν· τῷ η· πρὸ δὲ τοῦ θ, καὶ μ, τῷ η· δηθὰ, δῆμος· μέσον ἐν μ, τὸ ε· Δήμητρα· ἐν δὲ θυ, τὸ υ· δηθύνω.

Ἔτι πρὸ τοῦ λ, δῆλον. πλὴν τοῦ δειλὸς, καὶ δείλη, τῇ ει· μέσον ἡ αι· δείλαιος.

Πρὸ δὲ φωνήεντος, τῷ ι· πλὴν τοῦ δοῦν τῷ η, καὶ

δύω

δύω τῷ υ.

Ἔτι πρὸ τοῦ δ· διδάσχω. πλὴν τοῦ δείδω τῇ ει. καὶ δοίδυξ, τῇ οι. μέσον τὸ υ· δίδυμος.

Ἔτι πρὸ τοῦ κ· δίκη· πλὴν τοῦ δήκω, ὅθεν τὸ δῆγμα, τῷ η· καὶ δείκω, ὅθεν τὸ δεικνύω, καὶ δεῖγμα, τῇ ει. μέσον τὸ υ, δίκτυον. καὶ τὸ μέγα καθαρὸν ὄν, διώκω, καὶ τὸ μικρὸν, εἰμὴ καθαρόν· διπλόη.

Ἔτι πρὸ τοῦ ν. δίνη. πλὴν τοῦ δεινὸν τῇ ει· καὶ δὴν τῷ η. μέσον τὸ ε, προπαροξυτόνως· δήνεον· καὶ ἡ αι, ὑξυτόνως. δηναιόν.

Ἔτι πρὸ τοῦ σ· δίς. πλὴν τοῦ δύς, καὶ δύσις τῷ υ.

Ἔτι πρὸ τοῦ χ, καὶ ψ. δίχα, δίψα.

Ἔτι πρὸ δισυμφώνου· διπλοῦς. πλὴν τοῦ δεῖπνον τῇ ει

Καθόλου τὰ ἐκ τοῦ δις σύνθετα· δίσομον, δικέφαλον, διφυές.

Ἡ δρυ, τῷ υ. πλὴν τοῦ δρυμὺς τῷ ι.

Ἡ δο πρὸ μὲν τοῦ κ, καὶ λ, καὶ ν, τῶ μικρῷ· δοκῶ, δόλος, δόναξ. μέσον τὸ ι· δολιχόν.

Πρὸ δὲ τοῦ δ, ἢ μ, ἢ ρ, τῷ μεγάλῳ· δωδώνη, δῶμα, δῶρον· πλὴν τοῦ δόμος, καὶ δόμα, καὶ δόρυ.

Ἔτι πρὸ τοῦ σ, καὶ τ· δὼς, δωτίνη· πλὴν τοῦ δόσις δοτήρ.

Ἡ δμω, τῷ μεγάλῳ· δμώς.

Ἡ δνο, τῷ μικρῷ. δνοφερόν.

Ἡ δρο, πρὸ μὲν τοῦ μ, τῷ μικρῷ· δρόμος· πρὸ δὲ τοῦ π, τῷ μεγάλῳ· δρώπαξ.

§. αλβ'.

§. αλβ'. Ἀρχὴ τοῦ Ε.

Ἡ ε μόνη, Ἀντωνυμικῶς μὲν τῷ ν· ἐπιῤῥηματικῶς δὲ τῇ αι, αἱ· ὅθεν τὸ αἰάζειν, καὶ Αἴας.

Ἔτι πρὸ τοῦ γ, τῇ αι· αἴγυρος· πλὴν τοῦ ἐγὼ, καὶ ἐγείρω· μέσον ἡγουμένου ἑτέρου γ, τὸ υ· ἐγγυῶμαι.

Πρὸ δὲ τοῦ α, τῷ ε. ἐάν· πλὴν αἶα.

Ἔτι πρὸ τοῦ β· ἕβδομος· πλὴν τοῦ αἴβοϊ.

Ἔτι πρὸ τοῦ δ· ἕδρα· πλὴν τοῦ αἰδώς· μέσον τοῦ ε τὸ η· ἐδητής.

Ἔτι πρὸ τοῦ θ· ἐθάς· πλὴν τοῦ αἴθω, αἰθήρ· μέσον η ει ἐθείρω· εἰμὴ εἰς ιζω· οἷον, ἐθίζω· τῆς δε αι. μέσον τὸ ι ἐπὶ τοῦ αἰθίσψ, καὶ τὸ υ, ἐπὶ τοῦ αἰθύσσω

Ἔτι πρὸ τοῦ κ, ἑκάς. πλὴν τοῦ αἰκία, αἰκάλη· μέσον τοῦ ε τὸ η· ἔκηλος· πλὴν ἐκεῖνος τῇ ει· καὶ ἐκυρὸς τῷ υ.

Ἔτι πρὸ τοῦ λ· ἕλος. πλὴν τοῦ αἴλουρος, αἴλιος, μέσον τὸ ε· ἔλεος. πλὴν τοῦ ἐλαία.

Ἔτι πρὸ τοῦ μ· ἔμετος· πλὴν τοῦ αἷμα, καὶ αἱμύλος, μέσον τὸ ε, καὶ υ.

Ἔτι πρὸ τοῦ ν· ἐνετός· πλὴν τοῦ αἶνος, αἰνὸς, καὶ αἰνίττομαι, ὅθεν τὸ αἴνιγμα. μέσον τὸ ε, α, ι. πλὴν τοῦ Αἰνείας τῇ ει.

Ἔτι πρὸ τοῦ ο· ἕωλον. πλὴν τοῦ αἰὼν, αἰόλον παροξυτόνως· αἴωρα. μέσον προπαροξυτόνου τὸ μέγα. ἕωλον.

Ἔτι πρὸ τοῦ π, ἕπος· πλὴν τοῦ αἴπυ· μέσον ἡ ει. ἐπείγω. πλὴν τοῦ ἕπος.

Ἔτι

Ἔτι πρὸ τοῦ ρ· ἔρως· πλὴν τοῦ αἶρα, αἴρομαι, αἴρων· μέσον τὸ ε· ἐρεθίζω· καὶ τὸ ι· ἔριον. πλὴν τοῦ ἐρυθρὸν, ἐρύκω, ἐρυμνὸν, τῷ υ. καὶ ἔρημος, ἐρητύω, τῷ η. καὶ ἐραίδω τῇ ει.

Ἔτι πρὸ τοῦ σ· ἐσθίω· πλὴν τοῦ αἰσθάνομαι, Αἴσωπος, αἰσχύνη, Αἰσχίνης, αἶσα. μέσον τὸ ι· πλὴν τοῦ αἰσχίνω, καὶ αἴσυλον τῷ υ.

Ἔτι πρὸ τοῦ τ· ἔτος. πλὴν τοῦ αἰτεῖν, αἰτία· μέσον τὸ ε. πλὴν τοῦ ἑταῖρος. καὶ ἐτησίας δὲ, τῷ η. ἕτυμος τῷ υ· καὶ ἔτοιμος τῇ οι.

Ἔτι πρὸ τοῦ χ· ἔχω. πλὴν τοῦ αἰχμὴ· μέσον τὸ ε· ἔγχελυς· καὶ τὸ ι· ἔχιδνα· πλὴν τοῦ ἐχυρὸν, τῷ υ.

Ἔτι πρὸ τοῦ ψ· ἔψω. πλὴν τοῦ αἶψα.

§. αλγ. Ἀρχὴ τοῦ Ζ.

Η ζε, τῷ ε, ζέφυρος.

Η ζει, πρὸ μὲν φωνήεντος, τῇ ει· ζειὰ· ὅθεν ζείδωρος ἄρουρα.

Πρὸ δὲ τοῦ λ, τῷ η· ζῆλος.

Ἔτι πρὸ τοῦ μ· ζημία· πλὴν τοῦ ζύμη, τῷ υ.

Ἔτι πρὸ τοῦ ν, καὶ τ· Ζήνων, ζητεῖν.

Πρὸ δὲ τοῦ θ, τῷ υ· ζύθος.

Η ζω, τῷ μεγάλῳ· ζωὴ· πλὴν τοῦ ζόφος.

§. αλδ. Ἀρχὴ τοῦ Η.

Η η μόνη, ἁπλῶς μὲν, καὶ ἐπιῤῥηματικῶς, τῷ η, ἢ τῇ οι· σὺν πνεύματι δὲ τῷ η, ἢ τῇ ει.

Πρὸ

Πρὸ δὲ τοῦ β, ἢ γ, τῷ η· πλὴν τοῦ ὑβὸς, ὕβρις, ὑγρὸν, ὑγταίνω, τῷ υ· καὶ ἴβη τῷ ι. μέσον τὸ ε, καὶ ι· ἠγεμὼν, ὑγιαίνω.

Ἔτι πρὸ τοῦ θ· ἦθος· πλὴν τοῦ ἰθὺ, Ἰθάκη, Ἰθώμη, τῷ ι· μέσον τὸ μέγα, Ἰθώμη· πλὴν τοῦ ἴθορος.

Ἔτι πρὸ τοῦ λ· ἦλος· πλὴν εἰλικρινὲς, εἰλῶ, εἶλως, τῇ ει· καὶ ἴλεως, Ἰλλυριὸς, ἴλαρὸς, ἴλιον, ἰλὺς, ἰλιὸς, ἴλαος, ἰλιγξ, τῷ ι· καὶ ὕλη, ὑλακτεῖν, τῷ υ. μέσον τὸ ε, καὶ ι· πλὴν τοῦ εἰλύσσω, ἡλύσιον, καὶ Ἰλλυριὸς, τῷ υ.

Ἔτι πρὸ τοῦ μ, ἡμέρα· πλὴν τοῦ ἱμάτιον, ἵμερος, ἱμὰς. ἱμὰν, τῷ ι· καὶ ὑμὴν, ὑμηττὸς, ὕμνος, τῷ υ· καὶ εἶμα, τῇ ει· καὶ οἶμος, τῇ οι· μέσον τὸ ε, καὶ η, ἡμέρα, Ὑμηττός.

Ἔτι πρὸ τοῦ τ· ἧττον· πλὴν τοῦ ἴτης, ἰτέα, Ἰταλὸς, ἰτρίον, τῷ ι· καὶ οἶτος, τῇ οι.

Ἔτι πρὸ τοῦ φ, Ἥραιος· μέσον ᾱ αι· Ἡφαιστίων.

Ἔτι πρὸ τοῦ χ· ἦχος. πλὴν τοῦ ἴχνος, ἰχθὺς, ἰχὼρ, τῷ ι· καὶ οἴχεσθαι, τῇ οι.

Πρὸ δὲ φωνήεντος τῷ ι· ἴον· πλὴν τοῦ ἠὼς, καὶ ἠὺς· τῷ η. καὶ εἶα, τῇ ει, καὶ ὑάκινθος, ὗει, ὑάδες, ὗαινα, τῷ υ· καὶ ὑὸς, τῇ υ· καὶ οἴαξ, οἴω, οἷος, οἰωνὸς τῇ οι. μέσον τὸ ε· ἱερεύς· καὶ τὸ μέγα· ἰωὴ· πλὴν τοῦ ἰόνιον, ἰονίαι.

Ἔτι πρὸ τοῦ δ· ἵδρις· πλὴν τοῦ ἡδὺ, ἧδος, τῷ η· καὶ ὕδωρ, ὕδνον, τῷ υ· καὶ οἰδῶ· ὅθεν οἴδημα, τῇ οι. καὶ εἶδος, τῇ ει. μέσον τὸ υ· ἡδύω. καὶ τὸ μέγα.

γα· εἴδωλον.

Ἔτι πρὸ τοῦ ν· ἶνα· πλὴν τοῦ ἡνία, ἧνις, ἧνυσρον, τῷ η. καὶ οἶνος, τῇ οι. μέσον τὸ ι· ἡνία. πλὴν τοῦ ἧνυσρον τῷ υ.

Ἔτι πρὸ τοῦ ξ· ἰξός. μέσον τὸ ι· ἰξίων.

Ἔτι πρὸ τοῦ π. ἵππος. πλὴν τοῦ ἤπειρος, ἧπαρ, ἡπύω, ἠπίαλος τῷ η. καὶ ὑπό, ὑπέρ, ὕπατος, ὑπήνη τῷ υ. μέσον τὸ ι. πλὴν τοῦ ἠπύω τῷ υ, καὶ ὑπήνη τῷ η.

Ἔτι πρὸ τοῦ σ· ἴσος. πλὴν τοῦ Ὑσμήνη, ὕσερον, ὕσσωπος, ὕσριξ, ὑσπληξ, ὑσσός, ὗς. τῷ υ. καὶ οἶσρος, οἴσπη, οἷς τῇ οι. καὶ εἷς τῇ ει. καὶ ἥσυχος τῷ η. μέσον τὸ υ· ἥσυχος· καὶ τὸ μέγα, ὕσσωπος.

Πρὸ δὲ τοῦ κ, τῇ ε· πλὴν τοῦ ἧκω, ἧκισα, τῷ η· καὶ ἑκάνω, ἱκέτης, ἱκρίον, ἕκτις, τῷ ι· καὶ οἶκος, οἰκέτης τῇ οι· μέσον τὸ ε· εἴκελος· πλὴν τοῦ εἰκαῖος·

Ἔτι πρὸ τοῦ ρ· νίρήνη· πλὴν τοῦ ἥρα, ἥρως, ἠρέμα, ἠρέμον, τῷ η· καὶ ἶρις, τῷ ι. καὶ ὕῤῥα, ὑρκανοί, ὕρτιον, τῷ υ· μέσον τὰ ε· ἠρέμα· τὸ δὲ ἡραῖον, τῶν διὰ τοῦ αιον ἐσί· καὶ τὸ η· εἰρήνη, καὶ τὸ μέγα, εἰρωνεία.

Πρὸ δὲ τοῦ ψ, τῷ υ· ὕψος· πλὴν τοῦ ἴψ.

§. ϛλέ· Ἀρχὴ τοῦ Θ.

Τῆς δὲ θα, μέσον ἐν λυ, τὸ υ· θαλύσιον, ἐν μι, τὸ ι· θαμικά· πλὴν τοῦ θάμυρις τῷ υ. ἐν γη, ἡγουμένου ρ, τὸ η. Θαργηλιών.

Ἡ

Ἡ δὲ, τῷ ε. θέμις. μέσον τὸ ι· θερινός· καὶ τὸ μέγα· θεωρῶ.

Ἡ θρε τῷ ε· θρέμμα.

Ἡ θει πρὸ μὲν φωνήεντος τῇ ει. πλὴν τοῦ θύω, τῷ υ. καὶ θίασος, τῷ ι. καὶ θηεῖσθαι τῷ η·

Πρὸ δὲ τοῦ β, τῷ η· Θῆβαι.

Ἔτι πρὸ τοῦ γ· θήγω τὸ ἀκονῶ· πλὴν τοῦ θέγω τὸ ψαύω, καὶ θιγγάνω τῷ ι· καὶ θυγάτηρ τῷ υ.

Ἔτι πρὸ τοῦ κ καὶ λ· θήκη, θῆλυ. πλὴν τοῦ θύλαξ τῷ υ.

Ἔτι πρὸ τοῦ ρ· θήρα. πλὴν τοῦ θύρα, θύρσος τῷ υ.

Ἔτι πρὸ τοῦ σ· θησαυρός· πλὴν τοῦ θύσανος τῷ υ.

Πρὸ δὲ τοῦ μ τῷ υ· πλὴν τοῦ θημών, τῷ η.

Ἔτι πρὸ τοῦ ν· θῦνος. πλὴν τοῦ θοίνη, τῇ οι. καὶ θείνω τῇ ει.

Ἡ θλι τῷ ι· θλίβω. Ἡ θυη τῷ η· θυήσκω.

Ἡ θση πρὸ μὲν τοῦ ν, καὶ σ τῷ η· θρῆνος, θρησκεύειν.

Πρὸ δὲ φωνήεντος τῷ ι. πλὴν τοῦ θρυαλίς, καὶ θρύον τῷ υ.

Ἔτι πρὸ τοῦ δ, ἢ δισυμφώνου· θριδακίνη, θριγγός. θρίξ, θρίψ. πλὴν τοῦ θρύπτεσθαι.

Πρὸ δὲ τοῦ λ τῷ υ· θρύλλος.

Ἡ θο πρὸ τοῦ λ, ἢ ρ, τῷ μικρῷ· πλὴν τοῦ θώραξ μέσον τὸ υ· θόρυβος· πλὴν τοῦ θωρήσσω, τῷ η.

Πρὸ δὲ φωνήεντος, ἢ πρὸ τοῦ κ, ἢ μ, ἢ ν, ἢ σ, ἢ ψ τῷ μεγάλῳ· θωή, θῶκος, θωμός, θών, θώς, θώψ. πλὴν τοῦ θοός.

Ἡ

Η θρό· τῷ μικρῷ. πλὴν τοῦ θρώσκω, θρωσμός.

Ϛ. ἀλς. Ἀρχὴ τοῦ Κ.

Τῆς δὲ κα, μέσον τὸ ε· καρυεάδης· καὶ τὸ υ· κωλύπτω. πλὴν τοῦ κάπηλος, κάμηλος, καυθήλιον, Καρχηδών, τῷ η· καὶ κάμινος τῷ ι· καὶ τὸ μέγα καλλωπίζω· πλὴν τοῦ καρδοπος.

Η κε, τῷ ε· κενόν· πλὴν τοῦ καινὸν τὸ νέον, καιρὸς, καιὰς· μέσον τὸ ε, κελεός· πλὴν τοῦ κελαινός, καὶ τὸ υ· κέλυφος· πλὴν τοῦ κεγχρίνης, τῷ ι.

Η κλε, τῷ ε· κλέος· πλὴν τοῦ κλαίω.

Η κνε, τῇ αι· κναίειν· πλὴν τοῦ κνέφος.

Η κρε, τῷ ε· κρέας· πλὴν ἐφ' ὧν τὸ ν, ἢ π, ἕπεται· κρανίειν, κραιπάλη.

Η κτε, τῷ ε· κτερίζω.

Η κη πρὸ τοῦ δ, μονοσυμφώνως, τῷ η· πλὴν τοῦ κῦδος, τῷ υ·

Ἔτι πρὸ τοῦ π· κῆπος· πλὴν τοῦ κύπειρον, κύπελον, κυπάρισσος, τῷ υ.

Πρὸ δὲ τοῦ ν, τῷ ι· πλὴν τοῦ κοινὸν, τῇ οι· μέσον τὸ υ· κιὐρα· καὶ τὸ μέγα· κοινωνός.

Ἔτι πρὸ τοῦ π, ἢ τ, κίτσηρις, κίτιον· πλὴν τοῦ κῆτος, τῷ η· καὶ κοίτη, τῇ οι.

Πρὸ δὲ φωνήεντος, τῷ υ· πλὴν τοῦ κίων ὁ λίθος τῷ ι· καὶ κοίας, τῇ οι.

Ἔτι πρὸ τοῦ β· κύβος· πλὴν κιβωτός· καὶ κίβδηλον, τῷ ι· μέσον τὸ β· Κυβέλη· καὶ τὸ η· κίβδηλον, καὶ τὸ

τὸ μέγα· κιβωτός.

Ἔτι πρὸ τοῦ θ· κύθηρα· πλὴν τοῦ κιθάρα, καὶ κιθαιῳδών, τῷ ι· μέσον τὸ η, καὶ ε· κύθηρα, κυθέρεια· πλὴν τοῦ κιθαιρών.

Ἔτι πρὸ τοῦ κ· κύκλος· πλὴν τοῦ κύκυς, τῷ ι· μέσον τὸ ε· κικκαών.

Ἔτι πρὸ τοῦ λ· κυλίω· πλὴν τοῦ κηλῶ. κηλήτης, κηλὶς· τῷ η· καὶ Κιλικία, τῷ ι· καὶ κοίλον τῇ οι· μέσον τὸ ι, κύλινδρος· πλὴν τοῦ κηλήτης, καὶ κηλήνη, τῷ η. καὶ τὸ μικρὸν, εἰμὴ ἀπὸ κλίσεως, ἢ κατὰ σύνθεσιν τὸ μέγα.

Ἔτι πρὸ τοῦ μ· κύμα· πλὴν τοῦ κοιμῶμαι, τῇ οι· καὶ Κίμων τῷ ι· καὶ κημὸς, τῷ η. μέσον τῷ ι· κύμινον·

Ἔτι πρὸ τοῦ ρ· κῦρος· πλὴν τοῦ κηρὸς, κήρινθος, κηρύττω τῷ η· καὶ κιρνῶ, κίρκη, κίρρα τῷ ι καὶ κοίρανος τῇ οι. καὶ κείρω τῇ ει μέσον τὸ ι. κήρινθος. πλὴν τοῦ Κυρήνη, κυρήβια τῷ υ· καὶ κηρύσσω τῷ η.

Ἔτι πρὸ τοῦ φ· κυφός· πλὴν τοῦ κηφὴν, καὶ κηφισσός τῷ η. μέσον τῷ ι.

Ἔτ πρὸ δισυμφώνου· κύσις· πλὴν τοῦ κιγκλὶς, κίσηρις, κίχλα, κισσὸς τῷ ι. μέσον τὸ ε· κυφελη.

Η κλει πρὸ μὲν φωνήεντος, ἢ θ, τῇ ει· κλείθρον, κλείω ὅθεν κλοιὸς τῇ οι. καὶ πλὴν τοῦ κλύω τῷ υ·

Πρὸ δὲ τοῦ ρ, καὶ σ, καὶ τ, τῷ η. πλὴν τοῦ ἀπὸ τοῦ κλίνω· κλίσις, τῷ ι.

Πρὸ δὲ τοῦ β, καὶ μ, καὶ ν τῷ ι· κλάδανος, κλίμα, κλίνη· πλὴν τοῦ κλῆμα τῆς ἀμπέλου τῷ η, καὶ κλει-

κλεινὰς τῇ ει.

Πρὸ δὲ τοῦ δ, καὶ ζ, τῷ υ· κλύδων, κλύζω.

Η κνη, πρὸ μὲν τοῦ μ, τῷ η· κνήμη· πρὸ δὲ τοῦ δ, καὶ κ, καὶ σ, τῷ ι· κνίδη, κνίκος, κνίσσα· πρὸ δὲ τοῦ ζ, τῷ υ· κνύζασθαι.

Η κρη, πρὸ μὲν τοῦ γ, ἢ δ, ἢ μ, ἢ π, μονοσυμφώνως, τῷ η· κρήγυον, κρηδεμνον, κρημνος, κρηπὶς· πλὴν τοῦ κρυμνὸς, τῷ υ.

Πρὸ δὲ φωνήεντος, τῷ ι· κριὸς· πλὴν· τοῦ κρύος, τῷ υ· καὶ κρείων, τῇ ει.

Ε΄τι πρὸ τοῦ β, καὶ θ, καὶ κ, καὶ ν· κρίβανον, κριθὴ, κρίκος, κρίνω· πλὴν τοῦ κρὴνη, τῷ η.

Ε΄τι πρὸ τοῦ σ, καὶ τ, κρίσις, κριτὴς· πλὴν τοῦ κρὴς, καὶ κρησωνία τῷ η. καὶ κροῖσος τῇ οι· μέσον τὸ μέγα.

Πρὸ δὲ τοῦπτ τῷ υ· κρύπτειν. ὅθεν τὸ κρύβδην.

Η κτη πρὸ μὲν τοῦ δ, ἢ μ, ἢν, τῷ η· κτηδὼν, κτῆμα κτῆνος· πλὴν τοῦ κτείνω· ὅθεν το κτινύω, τῷ ι.

Πρὸ δὲ τοῦ σ τῇ ει· κτεὶς· τὸ δὲ κτίσις ἀπὸ τοῦ ἐκτίσθαι τῷ ι. καὶ κτῆσις ἀπὸ τοῦ κεκτῆσθαι τῷ η.

Πρὸ δὲ τοῦ ζ. καὶ λ, τῷ ι· κτίζω, κτίλος.

Πρὸ δὲ τοῦ π τῷ υ· κτύπος.

Η κο τῷ μικρῷ· πλὴν ἓνθα τὸ β, ἢ δ, ἢ φ, ἕπεται· κωβιὸς, κώδων, κωφὸς καὶ πλὴν τῶν ὠθων, κωκυτὸς, κωλύω, κῶλον, κῶμος, κώμη τῆς συνοικήσεως. κῶνος, κώνωψ, κώπη, κῶς, κωτίλλειν, κωχεύειν, μέσον τὸ· καὶ υ· κολεὸς, κόνδυλος. πλὴν τοῦ κοχλίας, κωβ[illegible], Κορίνθος, Κόρινος, κότινος, κόσκινον, κάψιχος, κωτίλλω τῷ ι. καὶ κορησὸς τῷ η. καὶ κολοιὸς, Κόροιβος τῇ οι. καὶ κώνειον τῇ ει. καὶ τὸ μικρὸν· κολοκύνθη. πλὴν τῶν κολύνη, κορώνη, κολωὸς, κομμωτική.

Η κλο πρὸ μὲν τοῦ ν καὶ π τῷ μικρῷ· πλὴν τοῦ κλών. πρὸ δὲ τοῦ θ καὶ ψ τῷ μεγάλῳ· κλώθω, κλώψ.

Η κνω τῷ μεγάλῳ· κνώδαλον.

Η κρο τῷ μικρῷ· πλὴν ἐφ' ὧν β ἢ ζ ἕπεται· κρώβυλος, κρωζειν. μέσον τὸ υ· κρόμμυον.

§. κζ'. Ἀρχὴ τοῦ Λ.

Τῆς δὲ λα μέσον τὸ ε. λακέρυζα. καὶ τὸ υ· λάφυρα. πλὴν τῶν λαπίνης τῷ ι, καὶ λαμπηδὼν τῷ η.

Η λε τῷ ε. πλὴν τοῦ λαιμὸς, λαιὸς, λαίλαψ· καὶ ἐφ' ὧν τὸ φ ἢ ψ ἕπεται· λαῖφος, λαιψηρόν. μέσον τὸ υ· λέπυρον.

Η λει πρὸ μὲν φωνήεντος, τῇ ει· λεῖος. πλὴν τοῦ λίαν, καὶ λιαρὸν, τῷ ι. καὶ λίτιον, ὅθεν τὸ λιτίζεσθαι ἀφ' οὗ τὸ λῆσις τῷ η. καὶ λύω· ὅθεν λύσις, καὶ λυτὸν τῷ υ.

Ε΄τι πρὸ τοῦ π· λείπω, ὅθεν τὸ λοιπὸς, τῇ οι· πλὴν τοῦ λίπος, τῷ ι· καὶ λύπη, τῷ υ.

Ε΄τι πρὸ τοῦ τ· λειτουργὸς· πλὴ τοῦ λιτὸν, τῷ ι.

Πρὸ δὲ τοῦ γ. τῷ η· λήγειν· πλὴν τοῦ λιγὺς, καὶ λιγυὸς τῷ ι· καὶ λυγὴ, λύγξ, λυγος, τῷ υ· καὶ λοιγὸς, τῇ οι.

Ε΄τι πρὸ τοῦ θ μονοσυμφώνως· λήθη· πλὴν τοῦ λίθος, τῷ ι.

Ε΄τι

Ἔτι πρὸ τοῦ ρ· λῦρος· πλὴν τοῦ λιρὸς, τῷ ι· καὶ νύρα, τῷ υ· καὶ λειρίον, τῇ ει.

Πρὸ δὲ τοῦ δ, ἢ σθ, τῷ οι· λοιδορία, λοῖσθος· Πλὴν τοῦ λυδὸς, τῷ υ· μέσον τὸ μικρόν.

Πρὸ δὲ τοῦ ζ, ἢ θρ, τῷ υ· λύζειν, λύθρος.

Ἡ λο, τῷ μικρῷ· πλὴν τοῦ λώβη, λώπιον, λωφᾶν.

§. αλή. Ἀρχὴ τοῦ Μ.

Τὸς δὲ μα μέσον τὸ ε· Μακεδών· πλὴν μάκαιρα, καὶ μάχαιρα· καὶ τὸ η· ἐν γνη· μαγνῆτις· ἐν δὲ ρι, τὸ ι· μαρῖνος.

Ἡ μα τῷ ε. πλὴν τοῦ μαῖα, μαιμᾶν, μαίνεσθαι. ματῶτις. μέσον τὸ ε· Μενέλαος· πλὴν τοῦ μεγαίρω, καὶ μέλαιν. καὶ τὸ υ· μέθυσος. πλὴν τοῦ μέθιμνον τὸ ι· καὶ τὸ μέγα· μαιῶτις.

Ἡ μη μόνη, ἢ πρὸ τοῦ δ, ἢ θ τῷ η. πλὴν τοῦ μειδιῶ, τῇ αι· καὶ μηδᾶν, καὶ μύδρον τῷ υ· μέσον ἐνδι, ι· μειδιῶ· ἐν θυ τὸ υ· Μηθύμνη.

Ἔπ πρὸ τοῦ κ, μονοσυμφώνως· μῆκος· πλὴν τοῦ μυκᾶσθαι, μυκῆναι, μύκης τῷ υ· καὶ μίκυλλος τῷ ι.

Ἔτι πρὸ τοῦ λ· μῆλον· πλὴν τοῦ μίλαξ, καὶ μίλτος τῷ ι· καὶ μύλη τῷ υ. καὶ μειλίσσεσθαι, τῇ ει. μέσον τὸ ι· μείλιχον. καὶ τὸ μέγα· μηλωθρον.

Ἔτι πρὸ τοῦ ν· μήν· πλὴν τοῦ μίνθη, μίνυς, μινύθειν τῷ ι· μέσον τὸ υ· πλὴν τοῦ μηνίειν τῷ ᾱ.

Ἔτι πρὸ τοῦ ρ· μονοσυμφώνως· μηρός· πλὴν τοῦ μῦρον, μυρία, καὶ μύρμηξ τῷ υ. καὶ μοῖρα τῇ οι· καὶ μει-

μειράκιον τῇ ει· μέσον τὸ ι· μήρινθος. πλὴν τοῦ μηρύνω τῷ υ.

Ἔτι πρὸ τοῦ τ μονοσυμφώνως· μήτηρ. πλὴν τοῦ μίτος, Μιτυλήνη τῷ ι· μέσον τὸ υ.

Ἔτι πρὸ τοῦ χ· μηχανή. πλὴν τοῦ μοιχὸς τῇ οι· καὶ μυχὸς τῷ υ. Μιχαίας δὲ καὶ Μιχαὴλ τῷ ι.

Πρὸ δὲ τοῦ α καὶ γ καὶ μ τῷ ι· μικρὸν, μιγνύω, μιμοῦμαι.

Ἔτι πρὸ τοῦ κρ, ἢ σ μονοσυμφώνως, ἢ μετὰ τοῦ θ· μικρὸς, μῖσος, μισθός. πλὴν τοῦ μῦσος τῷ υ.

Ἔτι πρὸ τοῦ τρ· μίτρα. πλὴν τοῦ μήτρα τῷ η.

Πρὸ δὲ τοῦ ζ, ἢ θ. ἢ σ, ἢ ς, ἢ ττ, ἢ ρ δισυμφώνως, ἢ φωνήεντος· πλὴν τοῦ α, καὶ ο τῷ υ· μυζᾶν, μῦθος, μυσήριον, μῦς, μυσκέλεθρον, ἢ τούτου κοπρος. μυσία, μυττωτὸς, μύρτος, μύειν, μύωψ· πλὴν τοῦ μισεῖν, καὶ μυσύλλειν· οὗ μέσον τὸ υ. πρὸ γεμὴν τοῦ ο τῇ ει· μεῖον.

Ἡ μνη, πρὸ μὲν τοῦ μ, καὶ σ, τῷ η· μνήμη, μνησήρ· πρὸ δὲ φωνήεντος, μνίον, τῷ ι· μνεία δὲ τῇ ει.

Ἡ μο, τῷ μικρῷ· πλὴν τοῦ μῶκος, μῶμος, μωρὸς, μέσον τὸ υ· μόλυβδος· καὶ τὸ μικρὸν· μολόχη.

§. αλϑ. Ἀρχὴ τοῦ Ν.

Νᾶ, τῷ ε· πλὴν τοῦ ναὶ, καὶ ναίειν, μέσον τὸ α· καὶ τὸ μικρὸν· νεφέλη, νεοττός.

Ἡ νη μόνη, ἐπιῤῥηματικῶς μὲν, τῷ η· νῆ· συνδεσμικῶς δὲ, τῷ υ· νύ.

Πρὸ δὲ φωνήεντος, καὶ πρὸ τοῦ λ, τῇ ει· νειὸς, νεῖλος.
Πρὸ δὲ τοῦ ρ, τῷ η· Νηρεύς· μέσον τὸ ι· νήριον.
Ἔτι πρὸ τοῦ σ, νῆσος· Πλὴν τοῦ Νίσσα πόλις, τῷ ι· καὶ νύσσειν, τῷ υ.
Ἔτι πρὸ τοῦ τ· νῆτη· Πλὴν τοῦ νίτρον, τῷ ι.
Ἔτι πρὸ τοῦ φ· νήφειν· πλὴν τοῦ νέφειν· ὅθεν τὸ νιφετός· καὶ νείφειν τῇ ει.
Πρὸ δὲ τοῦ ζ, καὶ κ, καὶ π, τῷ ι· νίζω, νίκη, νίπτω· πλὴν τοῦ νεῖκος, τῇ ει.
Πρὸ δὲ τοῦ μ, καὶ ν, καὶ ξ, τῷ υ· νύξ, νύμφη, νῦν· πλὴν τοῦ νῆνος, καὶ νὶν Ἀντωνυμικῶς τῷ ι.
Ἦ νο, τῷ μικρῶ· πλὴν τοῦ νῶ, νῶιν, καὶ νῶτα.

§. αμ΄. Ἀρχὴ τοῦ Ξ.

Ἦ ξε, τῷ ε· πλὴν τοῦ ξαίνειν.
Ἦ ξη, πρὸ μὲν τοῦ ρ, ξηρὸς, τῷ η· ξυρὸν, τῷ υ.
Πρὸ δὲ τοῦ φ, τῷ ι· ξίφος· τὰ λοιπὰ δὲ πάντα, τῷ υ· ξύειν, ξύλον, ξυσὶς.

§. αμά. Ἀρχὴ τοῦ Ο.

Ἦ ο τῷ μικρῷ· πλὴν τοῦ ὦ, ἐπιῤῥηματικοῦ, ὠὴν, ὠγύγιον, ὧδε, ὠδὴ, ὠδὶς, ὠκὺς, ὠλένη, ὠμὸν, ὦμος, ὠνὴ, ὥρα, ὡρίων, ὡρωπὸς, ὡς, ὠτὰς, ὠρεῖθεια, ὠρείτης, ὡρύεσθαι, ὠφελεῖν, ὠχρὸν, καὶ τοῦ ὀφθαλμοῦ· μέσον τὸ ε· ὀβελὸς, ὠλένη. καὶ ὀ μικρόν· ὀβολὸς. πλὴν τοῦ ὠρωπός. Καὶ τὸ ι ἐν χρι, καὶ μιμνήσκομαι· πλὴν τοῦ ὄμηρος τῷ η· καὶ ὅμοιος τῇ οι. καὶ ἐν

πι· ὀπίσω· πλὴν τοῦ ὀπήγιον τῷ η· καὶ ὀπύειν τῷ υ· καὶ ἐν πλε, καὶ ρι· ὀπλίτης, ὀρίγανον· πλὴν τοῦ ὀρύσσω, ὀρυμαγδὸς τῷ υ. καὶ τῶν ἀπὸ τοῦ ὄρος, ἐν δὲ κυ, καὶ θυ τὸ υ· ὀγκύλιον, ὀθρυονεύς· καὶ ἐν δυ, τὸ υ· πλὴν τοῦ ὀδίτης, ὀδίων, τῷ ι. καὶ ὀδημας, ὀδησσος τῷ η· καὶ ἐν λυ· ὀλύρα. καὶ μυ· ὀμύω· καὶ ξυ· ὀξύνω· καὶ τρυ· ὀτρύνω· καὶ χυ· ὀχυρόν. ἐν δὲ νει, καὶ φει, τῇ ει· ὄνειρον, ὀφείλω.

§. αμβ΄. Ἀρχὴ τοῦ Ε.

Τῆς δὲ πα, μέσον τὸ ι, καὶ ε· Πάρμισος, παρθένος. πλὴν τοῦ παλαίω, παλαιόν.
Ἦ πε, τῷ ε· πλὴν τοῦ παίειν, παῖς, παίζειν, παίγνιον, παιπάλη, παιφάσσειν· μέσον τὸ ι· πέπλον.
Ἦ πλε, τῷ ε· πλὴν τοῦ πλαίσιον.
Ἦ πρε. τῷ ε· ἑλληνικῶν ὄντων.
Ἦ πτε, τῷ ε· πλὴν τοῦ πταίειν· ὅθεν τὸ πταῖσμα
Ἦ πη μόνη ἐπιῤῥηματικῶς, τῷ η· πῆ. καὶ τῇ οι· ποῖ
Πρὸ δὲ τοῦ ρ. τῇ ει· πείρω, πεῖρα· πλὴν τοῦ πήρα, τῷ η· καὶ πῦρ, τῷ υ· μέσον ἡ αι· Πειραιεύς· καὶ ἐν τῷ πυρήνη, τὸ η· καὶ ἐν τῷ πυρίνθος, τῷ ι.
Πρὸ δὲ τοῦ γ, τῷ η· πηγή· πλὴν τοῦ πυγή, τῷ υ. μέσον τὸ η· πηγύδιον· πλὴν τοῦ πυγμὶς, τῷ υ.
Ἔτι πρὸ τοῦ δ· πηδᾷν· πλὴν τοῦ πῖδαξ, τῷ ι. καὶ Πῦδνα, τῷ υ.
Ἔτι πρὸ τοῦ λ· πηλός· πλὴν τοῦ πύλη, τῷ υ. καὶ πῖλος, τῷ ι.

Ἔτι

Ἔτι πρὸ τοῦ χ. πῆχυς.

Πρὸ δὲ τοῦ ν, τῷ ι· πλὴν τοῦ ποινὴ, τῇ οι· καὶ πυνθάνομαι, καὶ πυκινὸς, τῷ υ· καὶ πεῖρα, τῇ ει· καὶ πίνη, τῷ η.

Ἔτι πρὸ τοῦ σ, καὶ τ· πίσις, πίτυς· πλὴν τοῦ πήσσω, ὄθεν τὸ πηκτὸς, τῷ υ· καὶ πύξις, τῷ υ· μέσον τὸ υ· πηκτύς.

Πρὸ δὲ φωνήεντος, τῇ οι· ποῖον· πλὴν τοῦ πίων, τῷ ι· ὄθεν τὸ Πιερίς. καὶ πῦος, πῦον, πύελος, τῷ υ· καὶ πιέζειν, τῷ ι· μέσον τὸ ε· πύελος· πλὴν τοῦ πιαίνειν.

Πρὸ δὲ τοῦ θ, τῷ υ· πύθω, πυθία, πυθμήν· πλὴν τοῦ πείθω, τῇ ει· καὶ πιθανὸς, Πίθηκος, πίθος τῷ ι. μέσον τοῦ ι, τὸ η· πίθηκος.

Ἔτι πρὸ τοῦ κ· πυκνόν· πλὴν τοῦ ποικίλλον τῇ οι· καὶ πικρὸν τῷ ι. ποικίλον.

Ἔτι πρὸ τοῦ ξ· πύξις, πυξίον, πύξ.

Ἢ πλοι πρὸ μὲν φωνήεντος τῇ οι· πρὸ δὲ τοῦ θ, ἢ μ, ἢ ρ, τῷ η. πλῆθος, πλημμελεῖν, πλῆρες. μέσον τὸ ε καὶ υ· πλημμελὲς, πλημμυρὶς· πρὸ δὲ τοῦ ν, μονοσυμφώνως μὲν, τῷ υ· πλύνω· μετὰ δὲ τοῦ θ τῷ ε. πλίνθος.

Ἢ πνι, πρὸ μὲν τοῦ γ τῷ ι· πνίγος· πρὸ δὲ τοῦ ξ τῷ υ· πνύξ.

Ἢ πρι πρὸ μὲν φωνήεντος τῷ ι· πρίασθαι· πρὸ δὲ τοῦ λ, καὶ μ, καὶ τ, τῷ υ· πρήμνη, πρυλὶς, πρύτανις· πρὸ δὲ τοῦ ν, καὶ σ τῷ η· πρηνὴς, πρησ. πλὴν τοῦ πρῖνος, καὶ πρὶν τῷ ι.

Ἢ πτυ, πρὸ μὲν φωνήεντος τῷ υ. πτύον. πτοία δὲ, τῇ οι· πρὸ δὲ τοῦ λ τῷ ι· πτίλον· πρὸ δὲ τοῦ σ· πτίσσω, τὸ τύπτω τῷ ι· καὶ πτήσσω, τὸ φοβοῦμαι· τῷ η. καὶ πτύσσωμαι τῷ υ.

Ἢ πο τῷ μικρῷ· πόρος, πόλος· πλὴν τοῦ πώγων, πῶλος, πῶρας, πῶς, πῶϋ, πῶ· μέσον τὸ ε καὶ ι· πόλεμος, πολιός· πλὴν τοῦ ποδήρης τῷ η. καὶ τὸ μικρὸν πομφόλυξ.

Ἢ πλο, τῷ μικρῷ· πλὴν τῶν ῥηματικῶν πλωτὸν, καὶ πλωΐμον.

Ἢ πτω, τῷ μεγάλῳ· πλὴν τοῦ πτέρθος.

Σ. ἀμγ. Ἀρχὴ τοῦ Ρ.

Τῆς ῥα, μέσον τὸ ι· καὶ ω μέγα· ῥάδινος, ῥᾳστώνη. πλὴν τοῦ ῥᾴθυμος τῷ υ.

Ἢ ῥε, τῷ ε· πλὴν τοῦ ῥαιβὸς, ῥαίνειν, ῥαιστήρ.

Ἢ ῥη, πρὸ τοῦ σ, καὶ τ, τῷ η· πλὴν τοῦ ῥυτὶς, τῷ υ· μέσον τὸ ι· ῥητίνη.

Πρὸ δὲ τοῦ γ, μονοσυμφώνως, ἢ ζ, ἢ ν, τῷ ι· ῥίγος, ῥίζα, ῥίνη· πλὴν τοῦ ῥοῖζος, τῇ οι.

Πρὸ δὲ τοῦ α, καὶ β, τῇ οι· ῥοιὰ, ῥοίβδος· πλὴν τοῦ ῥάξ, τῷ υ· πρὸ δὲ ἄλλου φωνήεντος, τῷ υ· ῥύομαι

Ἔτι τῷ υ· καὶ πρὸ τοῦ γχ, ἢ θ, ἢ κ, ἢ μ, ἢ π· πλὴν ῥύγχος, ῥυθμὸς, ῥυκάνη, ῥυμὸς, ῥύπος· πλὴν τοῦ ῥιπὴ, τῷ ι.

Ἢ ῥο, τῷ μικρῷ· πλὴν τοῦ ῥώμη, ῥαγμὸς, ῥωμὸς μέσον ἐν ῥοδωνιὰ, τὸ μέγα· ἐν ῥοδόπη, τὸ μικρὸν.

§. αμδ'. Ἀρχὴ τοῦ Σ.

Τῆς δὲ σκ, καὶ σκα, καὶ σφα. μέσον τὸ ι· σάρισσα, πλὴν τοῦ σάπφειρος, τῇ ει· καὶ σκαληνὸν τῷ η.

Καὶ τὸ ε· σφάκελος. καὶ τὸ μικρόν· πλὴν τοῦ σαυρωτήρ, σκαμμωνία.

Ἢ σε τῷ ε, πλὴν τοῦ σαίνειν, σαίρειν· μέσον τὸ ι. σέλινον· πλὴν τοῦ σελήνη τῷ η.

Ἢ σβε, καὶ σκε τῷ ε· πλὴν τοῦ σκαιὸς, σκαίρειν.

Ἢ σπαι, τῇ αι· σπαίρειν.

Ἢ σε τῷ ε· πλὴν τοῦ σαὶς. μέσον τὸ ε. σέλεχος.

Ἢ σρε τῷ ε μέσον τὸ αὐτό· σραπτέγλα.

Ἢ σρε τῷ ε· πλὴν τοῦ σφαῖρα· μέσον τὸ μικρόν.

Ἢ σχε τῷ ε· σχέδιον.

Ἢ σι πρὸ μὲν φωνήεντος τῷ ι. πλὴν τοῦ σείω, ὅθεν τὸ σεισμὸς τῇ ει· μέσον τὸ ε· σίελος.

Ἔτι πρὸ τοῦ δ· σίφηρος· μέσον τὸ η.

Ἔτι πρὸ τοῦ μ· σιμὸς· πλὴν τοῦ σῆμα, καὶ σημεῖον οὗ μέσον ἡ ει.

Πρὸ δὲ τοῦ β τῷ υ· πλὴν τοῦ Σιβύλλα τῷ ι· ἢ μέσον τῷ υ.

Ἔτι πρὸ τοῦ κ· συκῆ· πλὴν τοῦ σηκὸς τῷ η. καὶ σίκελος σίκυα τῷ ι· μέσον τὸ ε.

Ἔτι πρὸ τοῦ λ· συλᾶν· πλὴν τοῦ σιλφὸς, καὶ σίλφιον τῷ ι· μέσον τὸ η. εἰμή τι εἰς ιον.

Ἔτι πρὸ τοῦ ν· σύν· πλὴν τοῦ σῖνος, σινοῶν τῷ ι.

Ἔτι πρὸ τοῦ ρ· σύρω· πλὴν τοῦ σιρὸς τῷ ι. καὶ σειρὰ τῷ

Ἔτι

Ἔτι πρὸ τοῦ σ· σῦς· πλὴν τοῦ σὴς, καὶ σήσαμον τῷ η· καὶ σίσυφος, σισύρα. τῷ ι· μέσον τῷ υ.

Ἢ σκη· πρὸ τοῦ ν, καὶ π· τῷ η· σκηνὴ, σκῆπτρον.

Πρὸ δὲ φωνήεντος, τῷ ι· σκιά.

Ἔτι πρὸ τοῦ ρ· σκίρωσις· μέσον τὸ μέγα.

Πρὸ δὲ τοῦ ζ, καὶ θ, τῷ υ. σκύζομαι, Σκύθης.

Ἔτι πρὸ τοῦ λ. σκύλα· πλὴν τοῦ σκίλλα, τῷ ι.

Ἔτι πρὸ τοῦ μ, καὶ τ· σκύμνος, σκύτος. πλὴν τοῦ σκίμπους· τῷ ι.

Ἢ σκλη, τῷ η· σκληρόν.

Ἢ σκνι, τῷ ι· σκνιπός.

Ἢ σμη, πρὸ μὲν τοῦ ν, τῷ η· σμῆνος· πλὴν τοῦ σμινύη, τῷ ι· πρὸ δὲ τοῦ κ, ἢ λ, τῷ ι· σμικρὸν, σμίλη· πλὴν τοῦ σμηκίθης, τῷ η· οὗ μέσον τὸ ι· πρὸ δὲ τοῦ χ, σμήχειν τὸ καθαίρειν, τῷ η· καὶ σμύχειν· τῷ υ.

Ἢ σπι, πρὸ μὲν τοῦ θ, καὶ λ, καὶ ν, τῷ ι· πλὴν τοῦ σπήλαιον, τῷ η· πρὸ δὲ τοῦ ρ, ἢ σ, τῇ ει· πλὴν τοῦ σπυρὶ, τῷ υ.

Ἢ σει, πρὸ μὲν τοῦ β, τῇ ει· σείβειν, ὅθεν σοιβὴν, τῇ οι, καὶ σιβὰς, τῷ ι.

Ἔτι πρὸ τοῦ χ· σείχειν, ὅθεν σοιχεῖον, τῇ οι· καὶ σίχος τῷ ι.

Πρὸ δὲ τοῦ λ· τῷ η· σήλη· πλὴν τοῦ σύλος τῷ υ·

Πρὸ δὲ τοῦ ζ τῷ ι· σίζειν· ὅθεν τὸ σίγμα.

Ἔτι πρὸ τοῦ λβ δισυμφώνου· σίλβειν.

Ἔτι πρὸ τοῦ φ· σίφος· πλὴν τοῦ συφελίξαι, καὶ σύφειν τῷ υ·

Ἢ

Η σφυ τῷ υ· σφυφνόν.

Η σφη πρὸ μὲν τοῦ ν, καὶ ξ τῷ η· σφὴν, σφήξ.

Πρὸ δὲ τοῦ γ τῷ ι· σφίγγω. Πρὸ δὲ τοῦ ζ τὸ υ· σφύζω· ὅθεν σφιγμός· καὶ πρὸ τοῦ ρ· σφύρα.

Η σφρυ τῷ υ· σφρυγᾶν.

Η σχη πρὸ μὲν τοῦ μ τῷ η· σχῆμα. πρὸ δὲ τοῦ ζ, τῷ ι· σχίζειν. πρὸ δὲ τοῦ ν· σχῖνος· τῷ ι. καὶ σχοῖνος τῇ οι.

Η σο τῷ μικρῷ· σορός. πλὴν τοῦ σώζειν, σῶμα, σωρός.

Η σκε τῷ μικρῷ· πλὴν τοῦ σκῶλον, σκώπτω, σκωρία· μέσον τὸ ι, καὶ ε. πλὴν τοῦ σκώλυθρον, σκομβρύζειν, τῷ υ. καὶ τὸ μικρόν· σκόροδον.

Η σμω τῷ μεγάλῳ· σμώδιξ.

Η σπο τῷ μικρῷ· σπάρος.

Η σο τῷ μικρῷ. πλὴν τοῦ σωϊκὸς, σωμύλος, καὶ σωβύσσω, ὧν μέσον, τὸ υ.

Η σρο τῷ μικρῷ. μέσον τὸ υ. σρογγύλον.

§. αμέ. Ἀρχὴ τοῦ Τ.

Τῆς δὲ τα, καὶ τρα, μέσον τὸ ι· τάριχος. πλὴν τοῦ τραχήλος, τῷ η. καὶ ταπεινὸς τῇ ει.

Η τε, τῷ ε. πλὴν τοῦ ταινία, καὶ ταίναρον. μέσον τὸ ε, καὶ ι· τερετίζειν, τέρμινθος. πλὴν τοῦ τερηδὼν τῷ η.

Η τρε, τῷ φ· τρέχω.

Η τη, πρὸ [illegible] τοῦ β, καὶ κ, καὶ λ, τῷ η· τήβεννος, τη-

τηκεδών, τήλεφος· πλὴν τοῦ τίλλω, τῷ ι· μέσον τὸ ε.

Πρὸ δὲ τοῦ χ, τεῖχος, τῇ ει· τοῖχος δὲ ἀρσενικογενῶς, τῇ οι· καὶ τύχη, καὶ τυγχάνω, τῷ υ.

Πρὸ δὲ φωνήεντος, ἢ γ, τῷ ι· τέω, τίγρις. Πλὴν τοῦ τήγανον, τῷ η.

Ἔτι πρὸ τοῦ θ· τιθή· μέσον ἐν τῷ τιθηνὸς, τὸ η· καὶ ἐν τῷ τιθύμαλος, τὸ υ.

Ἔτι πρὸ τοῦ μ· τιμή· πλὴν τοῦ τιμαλὲς, τῷ η· καὶ τύμπανον, τῷ υ· μέσον τὸ ε.

Ἔτι πρὸ τοῦ ν, καὶ τ· τίνειν, τιταίνειν· πλὴν τοῦ τηνῶμαι, τῷ η· καὶ τυτθὸν, τῷ υ.

Πρὸ δὲ τοῦ π, τῷ υ. τύπος.

Ἔτι πρὸ τοῦ ρ· τύραννος· πλὴν τοῦ τηρεῖν, τῷ η· καὶ τείρειν, τῇ ει· μέσον τὸ ι· Τηριδάτης.

Ἔτι πρὸ τοῦ φ· τύφος· πλὴν τοῦ τίφη, τῷ ι.

Η τλη, καὶ τμη, τῷ η· τλῆμον, τμητόν.

Η τρη, πρὸ μὲν τοῦ ρ· ἢ τ, τῷ η· πλὴν τοῦ τρίτον, τῷ ι.

Πρὸ δὲ φωνήεντος τῷ ι· τριὰς· μέσον ἢ αι· τρίαινα. καὶ τὸ η· τριήρης.

Ἔτι πρὸ τοῦ β· τρίβω· πλὴν τοῦ τρυβλίον τῷ υ.

Ἔτι πρὸ τοῦ χ· τρίχος· πλὴν τοῦ τρύχειν τῷ υ.

Πρὸ δὲ τοῦ σ· τρὶς τῷ ι. καὶ τρεῖς τῇ ει.

Πρὸ δὲ τοῦ γ, ἢ ζ, ἢ μ, ἢ φ, τῷ υ· τρύγω, τρύζω, τρύμη, τρυφή.

Η το, τῷ μικρῷ. πλὴν τοῦ τωθάζειν· μέσον τὸ υ· τολύπη. καὶ τὸ μικρόν. τοξότης.

Η

Η᾽ τμω· τῷ μεγάλῳ· τμῶλος.
Η᾽ τρο, τῶ μικρῷ· πλὴν τοῦ τρώγειν, τρώγλη· μέσον τὸ ι· τροχιλία.

§. αμς· Ἀρχὴ τοῦ Φ.

Τῆς δὲ φα μέσον τὸ ε· Φαέθων, φανερόν.
Η᾽ φε τῷ ε. πλὴν τοῦ φαιὸν, φαιδρὸς, φαίνειν.
Η᾽ φλε, καὶ φρε τῷ ε· φλέγω, φρέαρ·
Η᾽ φει πρὸ μὲν τοῦ δ, τῇ ει· φείδομαι.
Πρὸ δὲ τοῦ μ· τῷ η· φήμη. πλὴν τοῦ φιμὸς τῷ ι.
Πρὸ δὲ φωνήεντος, τῷ υ. φύω. ὄθεν τὸ φῦμα· πλὴν τοῦ φιάλη. τῷ ι.
Ἔτι πρὸ τοῦ γ. φυγή. πλὴν τοῦ φηγὸς τῷ η.
Ἔτι πρὸ τοῦ κ, καὶ λ. φύκος, φυλή. πλὴν τοῦ φίλος, καὶ φίλυρα τῷ ι.
Ἔτι πρὸ τοῦ ρ καὶ σ καὶ τ· φύρειν, φυσᾶν, φυτόν. πλὴν τοῦ φοιτᾶν, τῇ οι.
Πρὸ δὲ τοῦ β καὶ ν, τῇ οι· φοῖβος, φοίνιξ. πλὴν τοῦ φιβάλις τῷ ι.
Η᾽ φθι πρὸ μὲν φωνήεντος ἢ ν· τῷ ι· φθία, φθίνω. Πρὸ δὲ τοῦ ρ τῇ ει· φθείρω.
Η᾽ φλη πρὸ μὲν τοῦ ν τῷ η· φλήναφος.
Πρὸ δὲ φωνήεντος, ἢ κ, τῷ υ. φλύαρος, φλυαταῖνα. πλὴν τῆς φλιᾶ, τῷ ι· καὶ φλοιὸς τῇ οι. Πρὸ δὲ τοῦ σ τῇ οι· φρίσσος.
Η᾽ φρη, πρὸ μὲν τοῦ ν, φρὴν τῷ η· φρῦνος, τῷ υ· μέσον τὸ ι· φρύγιος, πρὸ δὲ τοῦ κ, μονοσυμφώνως, καὶ

πρὸ

πρὸ δὲ τοῦ μ, καὶ σ, καὶ τ, τῷ ι· φρίκη, φριμάσσεσθαι, φρίσσειν· τὰ δὲ λοιπὰ, τῷ υ· φρύγανον, φρυκτός· μέσον τὸ ι· φρυγίλος.
Η᾽ φο, τῷ μικρῷ· πλὴν τοῦ φῶς, φώκη, φωλεὸς, φωνὴ, φώρ, φωριαμὸς· μέσον τὸ ι· πλὴν τοῦ φορυτὸς, ἐπὶ φρυγάνου τῷ υ.
Η᾽ φθο, καὶ φλο, καὶ φρο, τῷ μικρῷ· φθόη, φλόξ, φρονεῖν.

§. αμζ. Ἀρχὴ τοῦ Χ.

Τῆς χα, μέσον τὸ ι· πλὴν τοῦ χάρυβδις, τῷ υ·
Η᾽ χε, τῷ ε· πλὴν τοῦ χαίρειν· καὶ χάσκη· μέσον τὸ ι· χελιδών· πλὴν τοῦ χελύνη· καὶ τὸ μέγα· Χαιρώνεια χελώνη.
Η᾽ χθε, καὶ χσε, τῷ ε· χθὲς, χρέμπτεσθαι.
Η᾽ χει, πρὸ τοῦ κ, καὶ λ, τῇ ει· χεικὰ, χεῖλος. πλὴν τοῦ χηλὴ, τῷ η· καὶ χιλὸς, χίλια, τῷ ι· καὶ χυλὸς, τῷ υ.
Πρὸ δὲ τοῦ τ· μονοσυμφώνως, τῷ ι· χιτών· δισυμφώνως δὲ, τῷ υ· χύτρα, χύτλον.
Πρὸ δὲ τοῦ δ, καὶ μ, τῷ υ· χύδην, χυμὸς· πλὴν τοῦ χίμετλα. τῷ ι.
Η᾽ χλι, τῷ ι· χλίδος, χλιδή.
Η᾽ χρη μὲν, τῷ η· χρή· Πρὸ δὲ τοῦ α· χρεία τῇ ει· καὶ χροιὰ τῇ οι. Πρὸ δὲ τοῦ ο· φρου φωνήεντος τῷ ι· χοῖρος. Πρὸ δὲ τοῦ μ, καὶ [illegible] τῷ η· πλὴν· τοῦ χρυσὸς τῷ υ·

Η

Η χο, τῷ μικρῷ· πλὴν τοῦ χωλός, χῶμα.
Η χλο, τῷ μικρῷ· πλὴν τοῦ χλωρόν.
Η χρο, τῷ μικρῷ· πλὴν τοῦ χρῶμα, καὶ χρώς.

§. αμή. Ἀρχὴ τοῦ Ψ.

Τῆς δὲ ψα, μέσον τὸ υ· ψακυρόν.
Η ψε, τῷ ε· ψεδνός· πλὴν τοῦ ψαίρειν.
Η ψη, πρὸ μὲν τοῦ γ, καὶ φ· τῷ η· ψῆφος, ψήγειν, ὄθεν τὸ ψῆγμα, καὶ ψῆκτρον.
Πρὸ δὲ τοῦ α, καὶ θ, τῷ ι· ψίαθος, ψιθυρίζειν· πλὴν τοῦ ψοίθης, τῇ αι· μέσον τὸ υ· ψιθύρισμα.
Ἔτι πρὸ τοῦ λ, ψιλός· πλὴν τοῦ ψηλαφᾶν, τῷ η· καὶ ψύλλα, τῷ υ.
Ἔτι πρὸ τοῦ ν, ψινάς· πλὴν τοῦ ψήν, τῷ υ.
Πρὸ δὲ τοῦ κ, ἢ χ, τῷ υ· ψυκτὴρ, ψυχεών.
Η ψο, τῷ μικρῷ· ψολόεις· πλὴν τοῦ ψώθιον, ψωμός, ψωλὸς, ψώχω, ψώρα.

§. αμθ. Τὰ μὲν οὖν πρῶτα, καὶ ἁπλᾶ, οὕτω λεκτέον· τὰ δὲ ἐκ τούτων· οὐ χαλεπὸν δὴ ἐτυμολογοῦντας ὀρθογραφεῖν· οἷον, τοῦ πολύδωρος, ἡ μὲν λυτῷ υ· ἡ δὲ δῶ, τῷ μεγάλῳ· ὅτι ἐκ τοῦ πολὺ, καὶ τοῦ δῶρον· καὶ τοῦ συμφέρειν, ἡ μὲν συμ, τῷ υ· ἡ δὲ φε, τῷ ε· ὅτι ἐκ τῆς συν, καὶ τοῦ φέρω· Καὶ τοῦ ψήφισμα, ἡ μὲν ψη, τῷ η· ἡ δὲ φι, τῷ ι· ὅτι ἐκ τοῦ ψηφίζομαι, τὸ δὲ ψῆφος.

Περὶ Διπλασιασμοῦ τῶν Συμφώνων.

Κανόνες.

§. αν. Διπλασιάζονται δὲ τῶν συμφώνων ἑξῆ ὁτὲ τὰ τε μέσα, καὶ τὰ ψιλὰ, καὶ τὰ ἀμεταβόλα, καὶ τὸ σ· οἷον, κάββαλεν, ἄγγελος, ἄδδην, κόκκος, ἵππος, ἀττικὸς, ἄλλος, λῆμμα, θῦννος, πάρρω, κίσσα. διπλοῦν δὲ, ἢ δασύ, οὐδέποτε.

§. ανά. Γίνεται δὲ τὸ τοιοῦτον, ἢ διὰ τὸ εὐφωνότερον· οἷον, τὸ ἀλλὰ, καὶ πέννα, καὶ ἄμμος, καὶ ἵππος καὶ τὰ τοιαῦτα· ἢ κατὰ συμπάθειαν, καὶ μεταβολήν.

§. ανβ. Τὸ γάρ τοι ν, πρὸ τοῦ γ, ἢ κ, ἢ χ, ἢ ξ, συντιθέμενον, μεταβάλλεται εἰς τὸ γ· οἷον, ἐγγύη, ἐγκέφαλος, συγχέω, συγξενίζω.
Πρὸ δὲ τῶν β, ἢ π. ἢ φ, ἢ ψ, ἢ μ, εἰς τὸ μ, μεταβάλλει· οἷον, σύμβουλος, συμπότης, σύμφωνος, σύμψηφος, σύμμαχος.
Πρὸ δὲ τοῦ λ, ἢ ρ, ἢ σ, εἰς τὸ ἑπόμενον αὐτὸ τρέπεται· οἷον, συλλαβὴ, σύῤῥους, σύσσιτος.

§. ανγ. Ὅθεν δὴ καὶ τὰ ἀπὸ τῶν εἰς εις ἀρσενικῶν θηλυκὰ εἰς σσα, τῷ διττῷ γράφεται σσ· χαρίεις, χαρίεσσα· ἀπὸ γὰρ τοῦ χαρίεντος, μεταβάλλοντος δὴ τοῦ ν, ὡς εἴρηται.

§. ανδ. Τὸ δὲ ν, διπλασιάζεσθαι συμβαίνει, ἔν τε τῇ συνθέσει, τῆς συλλαβῆς ἀπὸ τοῦ αὐτοῦ ἀρχομένης οἷον, ἔννοια, σύννους· καὶ ἄλλως ἐπὶ τῶν εἰς νω, παραγομένων ἀπὸ τῶν εἰς νω καθαρὸν ῥημάτων· τίνω, τιν-

τινύω, κἀντεῦθεν καὶ ἐπὶ τῶν εἰς μι φυλασσομένων. τίννυμι.

§. ανέ. Τοὐναντίον δὲ συμβαίνει ἐκλείπειν τὸ ν ἐν ταῖς συνθέσεσι παντελῶς, ἐφ' ὧν ζ, ἢ ς, ἕπεται· οἷον, συσέλλω, σύζυγος.

§. ανς. Τὸ δὲ λ, διπλοῦν καὶ ἐπὶ τῶν πεμπτοζύγων, μὴ μακρᾷ φύσει παραληγόντων· οἷον, θάλλω, ποικίλλω, ὄλλω· πλὴν τοῦ θέλω, καὶ πέλω.

§. ανζ. Τὸ δὲ μ, διπλοῦν καὶ ἐπὶ τῶν πρωτοζύγων ῥημάτων· γέγραμμαι, λέλημμαι, καὶ τῶν ἀπὸ τούτων παραγομένων Ὀνομάτων· γράμμα, λῆμμα.

§. ανή. Τὸ δὲ ρ, καὶ μεταβολῇ τοῦ σ διπλασιάζεται· πυρσόν, πυρρόν· πόρσω, πόρρω· Καθόλου δὲ καὶ ὅταν ἀρχόμενον λέξεως συντεθῇ τοῖς λήγουσιν εἰς φωνῆεν· ῥῆμα, ἐπίῤῥημα· ῥῆσις, ἀνάῤῥησις· ῥωσὸς, ἄῤῥωστος· οἷον πως καὶ τὸ αὐξήσει γινόμενον σ υλλαβικῇ· ῥίπτω, ἔῤῥιπτον· Ἐξαιρείσθω τὰ ἐκ τῆς εὐεύρωσος· τὸ δὲ ἀμφίῤῥυτον, καὶ ἄῤῥεκτον, διὰ τὸ μέτρον· οὐκ ἀπαλήφθη τὸ διπλοῦν.

§. ανθ. Τὸ δὲ σ, διπλοῦν καὶ ἐπὶ τῶν εἰς σσα θηλυκῶν Ἐθνικῶν· Κίλισσα, Λίβυσσα, Θρᾷσσα, Μάγνησσα. Καὶ τῶν τοῖς Ἀττικοῖς εἰς τὸ διττὸν μεταποιουμένων ττ· γλῶσσα, γλῶττα. δισσὸν καὶ ἐπὶ τῆς Ἰωνικῆς Δοτικῆς τῶν Πεμπτοκλίτων· πάντεσσι, θηρεσσι· Ποιητῶν δὲ ταυτί. Περὶ μὲν οὖν τῶν τοιούτων εἴρηται καὶ ἐν τῷ δευτέρῳ Βιβλίῳ.

Περὶ

Περὶ τῶν Ἰδίᾳ Ὑπογραφομένων.

§. αξ. Οὐκ ἔξω δὲ τῶν περὶ Ὀρθογραφίας καὶ ἡ τῶν ὑπογραφομένων δικλῆψις· Ὑπογράφονται τοίνυν ἰδίᾳ χωρὶς τῶν πρότερον ἐν τοῖς περὶ Κλίσεως, καὶ Σχηματισμοῦ εἰρημένων, τάδε.

Περὶ τοῦ Α.

§. αξά. Ἅδω, ὄθεν τὸ ᾆσμα, Ἀΐδης, ἀεί, καὶ τὰ ἐξ αὐτοῦ σύνθετα· ἀείμνηστον, ἀειθαλές· Ἔτι τὸ ῥᾴδιος, ῥᾳδός, καὶ τὰ ἐξ αὐτῶν· οἷον, ῥᾳδιουργῶ, ῥᾳδιουργία, ῥᾳσώνη, ῥᾳσωνεύομαι· Ἔτι τὸ πρᾷος, πραότης· ῥᾴθυμος, ῥᾳθυμῶ, ῥᾳθυμία, ῥᾴβδος· Ἔτι δᾷς, δαδές· Θρᾷξ, θρᾷκες, θρᾴκη, καὶ θρᾳκίας, ὁ ἄνεμος.

Περὶ τοῦ Η.

§. αξβ'. Ἔτι τὸ θρησκεύω, καὶ θρησκεία· ἀπὸ γὰρ τῶν Θρᾳκῶν· Ἔτι τὸ χρήζω, κλῄζω, λῃστὴς, καὶ τὰ ἐξ αὐτοῦ λῃστεύω, λῃστεία, λῃστρικόν· Ἔτι ἀηδών, ἀηδόνος· ἠών, ἠόνος· δηῶ, καὶ ἀδήωσον· γῆδιον, καὶ αἰζηός· Μήονες, δὲ, ἀντὶ Μαίονες, καὶ μετήωρα, ἀντὶ μεταίωρα, καὶ καλλισπάρηοι, καὶ μιλτοπάρηοι, καὶ ἄλλα τοιαῦτα, Ποιητικά.

Περὶ τοῦ Ω.

§. αξγ. Ἔτι τὸ λῶον, λῷστος· [illegible]ος, καὶ σῴζω, καὶ Ἡρῷος, Πατρῷος, Κῷος, ἑῷος, καὶ τὰ ὅμοια κτητι-

τικά. Ἔτι Μινῴδης, Ἡρῴδης, ἀφ' οὗ καὶ Ἡρῳδιανός· καὶ Κῶνος κατὰ παράδοσιν. Ἔτι ᾠδή, ἔθεν προσῳδία, ὑμνῳδία. ἐπῳδή, καὶ ἐπῳδός· τραγῳδία, καὶ τραγῳδός· ῥαψῳδία· χρησμῳδία, καὶ χρησμῳδός, καὶ τὰ παραπλήσια. Ἔτι κῴδιον, σῴδιον· καὶ καλῴδιον, λαγῴδιον ὁμοίως. Ἔτι ζῷον, καὶ ζῴδιον· καὶ ᾠα τὸ περιτραχήλιον τοῦ ἱματίου. Καὶ τρῳαί, καὶ δμῳαί, καὶ ἠῷναι· καὶ ἐῳδιός· καὶ αὐλῳή, καὶ θῳή, καὶ ἀθῷος. Ἔτι θρῴσκω, καὶ θρωσμός· κολῴω, καὶ κολῳός. Ἔτι φῴζω, πλῴζω, χρῴζω· καὶ πρῷζον τὸ προχθεσινόν· καὶ πρῶρα, καὶ πρῳήν, καὶ ἄλλα τινὰ ὑπογράφονται.





